AENEAE

COMMENTARIUS POLIORCETICUS

EX RECENSIONE

RUDOLPHI HERCHERI

Acc. 44, 418.

BIBLIOTH:
ACADEM:
DORPAT:

BEROLINI
APUD WEIDMANNOS
MDCCCLXX.

M = codex Laurentianus plut. LV 4.
C = Casaubonus.
H = Hertlinus.
T = Turicenses.

Ὅσοις τῶν ἀνθρώπων ἐκ τῆς αὐτῶν ὁρμωμένοις χώρας ὑπερόριοί τε ἀγῶνες καὶ κίνδυνοι συμβαίνουσιν, ἄν τι σφάλμα γένηται κατὰ γῆν ἢ κατὰ θάλασσαν, ὑπολείπεται τοῖς περιγιγνομένοις αὐτῶν οἰκεία τε χώρα καὶ πόλις, ὥστε οὐκ ἂν ἄρδην πάντες ἀναιρεθεῖεν· τοῖς δὲ 2
ὑπὲρ τῶν μεγίστων μέλλουσι κινδυνεύειν, ἱερῶν καὶ πατρίδος καὶ γονέων καὶ τέκνων καὶ τῶν ἄλλων, οὐκ ἴσος οὐδ' ὅμοιος ὁ ἀγών ἐστιν, ἀλλὰ σωθεῖσι μὲν καὶ καλῶς ἀμυναμένοις τοὺς πολεμίους φοβεροὺς τοῖς ἐναντίοις καὶ δυσεπιθέτους εἰς τὸν λοιπὸν χρόνον εἶναι, κακῶς δὲ προσενεχθεῖσι πρὸς τοὺς κινδύνους οὐδεμία ἐλπὶς σωτηρίας ὑπάρχει. τοὺς οὖν ὑπὲρ τοσούτων καὶ τοιούτων μέλλον- 3
τας ἀγωνίζεσθαι οὐδεμιᾶς παρασκευῆς καὶ προθυμίας ἐλλιπεῖς εἶναι δεῖ, ἀλλὰ πολλῶν καὶ παντοίων ἔργων πρόνοιαν ἑκτέον, ὅπως διά γε αὐτοὺς μηδὲν φανῶσι σφαλέντες· ἂν δὲ ἄρα τι σύμπτωμα γένηται, ἀλλ' οἵ γε λοι- 4
ποὶ τὰ ὑπάρχοντα εἰς ταὐτὸ ποτὲ καταστήσειαν ἄν, καθάπερ τινὲς τῶν Ἑλλήνων εἰς τὸ ἔσχατον ἀφικόμενοι πάλιν ἀνέλαβον ἑαυτούς.

Τὴν οὖν τῶν σωμάτων σύνταξιν σκεψάμενον πρὸς τὸ 1
μέγεθος τῆς πόλεως καὶ τὴν διάθεσιν τοῦ ἄστεως καὶ τῶν φυλάκων τὰς κατασκάσεις καὶ περιοδείας, καὶ ὅσα ἄλλα

---

4. περιγινομένοις *M* || 5. ἀναιρεθείησαν *M* || 8. ὁ addidit Hauptius | ἀλλὰ–εἶναι] Excidit verbum finitum || 12. ὑπάρχει H: ὑπάρξει *M* || 17. ἄν om *M* || 20. σκεψάμενον *M* || 21. ἄστεος *M* || 22. περιοδείας H: περιοδίας *M* ||

σώμασι κατὰ τὴν πόλιν χρηστέον, πρὸς ταῦτα τοὺς με-
2 ρισμοὺς ποιητέον. τὰ μὲν γὰρ ἐκπορευόμενα δεῖ συντε-
τάχθαι πρὸς τοὺς ἐν τῇ πορείᾳ τόπους καὶ τὰς τῶν
πολεμίων διαβάσεις καὶ τὰς ἐκ τῶν τοιούτων παρατάξεις,
3 τὰ δὲ τειχήρη καὶ πολιτοφυλακήσοντα πρὸς μὲν τὰ τοιαῦτα
οὐδὲν δεῖ συντετάχθαι, πρὸς δὲ τοὺς ἐν τῇ πόλει τόπους
4 καὶ τὸν παρόντα κίνδυνον. πρῶτον μὲν οὖν αὐτῶν ἀπο-
νεῖμαι δεῖ τοὺς φρονιμωτάτους τε καὶ ἐμπείρους μάλιστα
5 πολέμου, οἳ περὶ τοὺς ἄρχοντας ἔσονται· ἔπειτα ἀπολέ-
γειν σώματα τὰ δυνησόμενα μάλιστα πονεῖν, καὶ μερίσαντα
λοχίσαι, ἵνα εἵς τε τὰς ἐξόδους καὶ τὰς κατὰ πόλιν περιο-
δείας καὶ τὰς τῶν πονουμένων βοηθείας ἢ εἵς τινα ἄλλην
ὁμότροπον ταύταις λειτουργίαν ὑπάρχωσιν οὗτοι προτε-
6 ταγμένοι τε καὶ δυνατοὶ ὑπηρετεῖν. εἶναι δὲ αὐτοὺς εὔ-
νους τε καὶ τοῖς καθεστηκόσι πράγμασιν ἀρεσκομένους·
μέγα γὰρ ἂν πρὸς τὰς τῶν ἄλλων ἐπιβουλὰς τοῦτο ἀγα-
θὸν ὑπάρχοι ἐν πολιορκίᾳ· φόβος γὰρ ἂν εἴη τοῖς ἐναν-
7 τία θέλουσιν ἐν τῇ πόλει. ἡγεμὼν δὲ καὶ ὁ ἐπιμελη-
τὴς αὐτῶν ἔστω τά τε ἄλλα φρόνιμος καὶ εὔρωστος, καὶ
8 ᾧ ἂν πλεῖστοι κίνδυνοι εἶεν μεταβολῆς γενομένης. τῶν
δὲ λοιπῶν τοὺς ῥωμαλεωτάτους ἡλικίᾳ ἐκλέξαντα ἐπὶ
τὰς φυλακὰς καθιστάναι καὶ τὰ τείχη, τῶν δὲ ὄχλων
τοὺς μὲν εἰς τὴν ἀγοράν, τοὺς δὲ εἰς τὸ θέατρον, τοὺς
δὲ ἄλλους εἰς τὰς οὔσας ἐν τῇ πόλει εὐρυχωρίας, ἵνα
μηδὲν ἔρημον ᾖ εἰς δύναμιν τῆς πόλεως.

2 Ἄριστον δὲ τὰς ἀχρείους οὔσας εὐρυχωρίας, ἵνα μὴ

---

2. τοὺς μὲν γὰρ ἐκπορευομένους *M* || 3. Post τόπους in *M* est ὡς χρὴ πορεύεσθαι παρά τε τὰ ἐπικίνδυνα χωρία καὶ ἐρυμνὰ καὶ στενοπόρα καὶ πεδινὰ καὶ ὑπερδέξια καὶ ἐνεδρευτικά || 5. πολιτοφυλακήσοντα Meierus: πολιτοφυλακῆς ὄντα *M* || 7. αὐτῶν C: αὐτὸν *M* || 9. Post ἔπειτα in *M* est λοιπὸν || 10. τὰ addiderunt T: | μερίσαντα C: μετρίσαντα *M* || 11. περιοδείας H: περιοδίας *M* || 14. Post δυνατοὶ in *M* est ὄντες || 16. μέγα γὰρ πρὸς τὰς τῶν ἄλλων ἐπιβουλὰς τοῦτο ἀφρόον ὑπάρχον ἀντ' ἀκροπόλεως φόβος *M* || 17. Malim τἀναντία || 18. Malim ἡγεμὼν δὲ καὶ ἐπιμελητὴς αὐτῶν ἀνὴρ ἔστω τά τε ἄλλα φρόνιμος καὶ εὔρωστος || 21. ἡλικίᾳ H: ἡλικίᾳ καὶ νεότητι *M* || 22. Post τείχη in *M* legitur τὸ δὲ περιὸν πλῆθος μερίσαντα πρὸς τὸ μῆκος τῶν νυκτῶν καὶ τῶν φυλάκων τὸ πλῆθος κατανεῖμαι || 26. ἄριστον δὲ COrellius: ἄχρηστον δὲ εἰς *M* | εὐρυχωρίας ἐν τῇ πόλει ἵνα *M* ||

σωμάτων εἰς αὐτὰς δέῃ, τυφλοῦν ταφρεύοντα καὶ ὡς μάλιστα ἀβάτους ποιοῦντα τοῖς νεωτερίζειν βουλομένοις καὶ προκαταλαμβάνειν αὐτάς. Λακεδαιμόνιοι δὲ Θηβαίων 2
ἐμβαλόντων ἔκ τε τῶν ἐγγυτάτω οἰκιῶν ξύλα λύσαντες
καὶ ἐκ τῶν αἱμασιῶν καὶ τειχίων ἄλλοι κατ' ἄλλους τόπους φορμοὺς γῆς καὶ λίθων πληρώσαντες, φασὶ δὲ καὶ ὅτι τοῖς ἐκ τῶν ἱερῶν χαλκοῖς τρίποσι χρησάμενοι καὶ τούτοις προαποπληρώσαντες τάς τε εἰσβολὰς καὶ τὰς διόδους καὶ τὰ εὐρύχωρα τοῦ πολίσματος ἐκώλυσαν τοὺς εἰσβάλλειν ἐπιχειροῦντας εἰς αὐτὸ τὸ πόλισμα. Πλαταιεῖς δὲ 3
ἐπεὶ ᾔσθοντο νυκτὸς ἐν τῇ πόλει Θηβαίους ὄντας, καταναήσαντες οὐ πολλοὺς αὐτοὺς ὄντας οὐδὲ ἔργων τῶν προσηκόντων ἁπτομένους, οἰομένους γε μέντοι κατέχειν τὴν πόλιν, ἐνόμισαν ἐπιθέμενοι ῥᾳδίως κρατήσειν. τεχνάζουσιν
οὖν εὐθέως τοιόνδε. τῶν ἀρχόντων οἳ μὲν ὁμολογίας 4
ἐποιοῦντο τοῖς Θηβαίοις ἐν τῇ ἀγορᾷ, οἳ δὲ παρήγγελλον κρύφα τοῖς ἄλλοις πολίταις σποράδην μὲν ἐκ τῶν οἰκιῶν μὴ ἐξιέναι, καθ' ἕνα δὲ καὶ δύο τοὺς κοινοὺς τοίχους διορύττοντας λαθραίως παρ' ἀλλήλους ἀθροίζεσθαι.
ἑτοιμασθέντος δὲ πλήθους ἀξιομάχου τὰς μὲν διόδους 5
καὶ τὰς ῥύμας ἐτύφλωσαν ἁμάξαις ἄνευ τῶν ὑποζυγίων, ἀπὸ δὲ σημείου ἀθροισθέντες ἐφέροντο ἐπὶ τοὺς Θηβαίους. ἅμα δὲ τούτοις τὰ γύναια καὶ οἱ οἰκέται ἦσαν ἐπὶ τοῖς 6
κεράμοις, ὥστε βουλομένων τῶν Θηβαίων πράσσειν καὶ ἀμύνεσθαι ἐν σκότει, οὐκ ἐλάττω ἀπὸ τῶν ἁμαξῶν βλάβην ἢ ἀπὸ τῶν προσκειμένων αὐτοῖς ἀνθρώπων γενέσθαι. οἳ μὲν γὰρ ἔφυγον ἄπειροι ὄντες ἢ χρὴ σωθῆναι, οἳ δὲ ἐμπείρως διώκοντες πάνυ πολλοὺς ἔφθειραν.
ἐξοιστέον δὲ καὶ τὰ ὑπεναντία τούτοις, ὡς μιᾶς μὲν οὖ- 7

---

1. τυφλουν *M* || 4. ξύλα λύσαντες] *διαλύοντες M* || 5. τειχίων Meinekius: *τειχῶν M* || 6. πληροῦντες *M* || 7. ὅτι adieci | *τρίποσιν ὄντων πολλῶν καὶ μεγάλων χρησάμενοι M* || 21. τῶν addidi || 22. ἀπὸ H: *ὑπὸ M* || 24. πράσσειν] Fortasse *πράσσειν τι* || 25. ὑπὸ – *ὑπὸ M* || 27. ἔφυγον adieci | *ἄπειροι ὄντες ἢ χρὴ σωθῆναι διὰ τὰς φράξεις τῶν ἁμαξῶν οἳ δὲ M* || 28. πάνυ] *ταχὺ M* | *διέφθειραν* Kirchhoffius ||

σης εὐρυχωρίας κίνδυνος ἂν εἴη τοῖς ἐν τῇ πόλει, ἂν προκαταλαμβάνωσιν οἱ ἐπιβουλεύοντες (κοινοῦ γὰρ καὶ ἑνὸς ὄντος τόπου τοιούτου τῶν φθασάντων ἂν εἴη τὸ ἔργον), δύο δὲ ἢ τριῶν ὄντων τοιῶνδε τόπων, τάδε ἂν εἴη τὰ
8 ἀγαθά. εἰ μὲν ἕνα ἢ δύο καταλαμβάνοιεν τόπους, τὸν 5
λοιπὸν ἂν τοῖς ἐναντίοις ὑπάρχειν· εἰ δὲ πάντας, χωρισθέντες ἂν καὶ μερισθέντες ἀσθενεστέρως διακέοιντο πρὸς τοὺς ὑπεναντίους ἀθρόους ὄντας, εἰ μὴ ἑκάστῳ μέρει ὑπερέχοιεν τῶν ἐν τῇ πόλει.

3 Ἐκ προσφάτου δὲ ἐγγιγνομένου φόβου ἀσυντάκτῳ 10
πόλει, τάχιστα ἂν τις εἰς σύνταξιν καὶ φυλακὴν τῆς πόλεως τοὺς πολίτας καταστήσειεν, εἰ ἑκάστῃ φυλῇ μέρος τι τοῦ τείχους κλήρῳ ἀποδείξειεν, ἐφ' ὃ ἐλθοῦσαι εὐθὺς αἱ φυλαὶ φυλάξουσι. κατὰ πολυπλήθειαν δὲ φυλῆς ἑκά-
2 στης τὸ μέρος τοῦ τείχους φυλαττόντων. ἔπειτα οὕτως 15
ἀφ' ἑκάστης φυλῆς τοὺς δυναμένους τοῖς σώμασι ἀπολέγειν εἷς τε τὴν ἀγορὰν καὶ τὰς περιοδείας, καὶ εἴ τι
3 ἄλλο δεῖ χρῆσθαι τοῖς τοιούτοις ἀνθρώποις. ὁμοτρόπως δὲ καὶ φρουρίου ὑπὸ συμμάχων φρουρουμένου μέρος τι τοῦ τείχους τῶν συμμάχων ἑκάστοις ἀποδιδόσθω φυλάττειν. 20
ἐὰν δὲ πολῖται ἐν ὑποψίᾳ πρὸς ἀλλήλους ὦσι, κατὰ ἀνάβασιν ἑκάστην τοῦ τείχους δεῖ ἐπιστῆσαι ἄνδρας πιστούς, οἳ κωλυταὶ ἔσονται, ἄν τις ἐπιχειρῇ ἄλλος ἀναβαίνειν.
4 ἐν εἰρήνῃ δὲ καὶ ὧδε χρὴ συντετάχθαι τοὺς πολίτας. πρῶτον μὲν ῥύμης ἑκάστης ἀποδεῖξαι ῥυμάρχην ἄνδρα 25
τὸν ἐπιεικέστατόν τε καὶ φρονιμώτατον, πρὸς ὅν, ἐάν τι
5 ἀπροσδοκήτως νυκτὸς γένηται, συναθροισθήσονται. χρὴ

---

1. *κίνδυνος ἂν εἴη*] *κίνδυνον εἶναι M* | *ἂν*] Malim *ἄν γε* || 5. *καταλαμβάνοιεν*] Rectius *προκαταλαμβάνοιεν* | *τὸν λοιπὸν ἂν τοῖς ἐναντίοις ὑπάρχειν*] Malim *τὸν λοιπὸν ἂν τοῖς ἐναντίοις ὑπάρχοι καταλαμβάνειν* || 9. Post *πόλει* in *M* est *ὡς δὲ αὕτως καὶ κατὰ τῶν ἄλλων πάντων θελημάτων χρὴ τὰ ἐνόντα ὑπεναντία τοῖς προγεγραμμένοις ὑπονοεῖν ἵνα μὴ ἀπερισκέπτως τι ἕτερον αἱρῆσαι* || 10. *ἐγγινομένου M* || 12. *καταστήσοι M* || 13. *ὃ*] *ᾧι M* || 14. *καταπολυπληθίαν M* || 15. *μέρος* H: *μέγεθος M* || 16. *ἀφ'* Kirchhoffius: *ἐφ' M* | *σώμασι* H: *σώμασι πονέσαι M* || 17. *περιοδείας* H: *περιοδίας M* || 18. *ἀνθρώποις* C: *ἄνθρωπος M* || 21. *ἀλλήλους* C: *ἄλλους M* || 24. *καὶ* deleam ||

δὲ τὰς ἐγγυτάτω ῥύμας τῆς ἀγορᾶς εἰς τὴν ἀγορὰν ἄγειν τοὺς ῥυμάρχας, τοῦ δὲ θεάτρου τὰς ἐγγυτάτω ῥύμας εἰς τὸ θέατρον, εἵς τε τὰς ἄλλας εὐρυχωρίας ἀθροίζεσθαι τοὺς ῥυμάρχας μετὰ τῶν ἐξενεγκαμένων παρ' αὐτοὺς τὰ ὅπλα· οὕτω γὰρ ἂν τάχιστα ἔς τε τοὺς προσήκοντας ἕκα- 6
στοι τόπους ἀφίκοιντο, καὶ ἐγγυτάτω τῶν σφετέρων οἴκων εἶεν, διαπέμποιέν τε ἂν οἰκονομοῦντες πρὸς τοὺς κατ' οἶκον, οὐ πρόσω αὐτῶν διατελοῦντες.

Ἔπειτα οὕτω πεποιῆσθαι σύσσημα, ἀφ' ὧν μὴ 4
ἀγνοήσουσι τοὺς προσιόντας αὐτοῖς· ἤδη γὰρ τοιόνδε συνέβη. Χαλκὶς ἡ ἐν Εὐρίπῳ κατελήφθη ὑπὸ φυγάδος ὁρμωμένου ἐξ Ἐρετρίας, τῶν ἐν τῇ πόλει τινὸς τεχνασαμένου τοιόνδε. κατὰ τὸ ἐρημότατον τῆς πόλεως καὶ 2
πύλας οὐκ ἀνοιγομένας ἔχον φυλάσσων τὰς ἡμέρας καὶ τὰς νύκτας ἔλαθε νυκτὸς τὸν μοχλὸν διαπρίσας καὶ δεξάμενος ταύτῃ τοὺς στρατιώτας. ἀθροισθέντων δὲ ἐν τῇ 3
ἀγορᾷ ὡς δισχιλίων ἀνδρῶν ἐσημάνθη τὸ πολεμικὸν σπουδῇ, πολλοὶ δὲ τῶν Χαλκιδέων ἐκφοβηθέντες ἐτίθεντο τὰ ὅπλα παρὰ τοὺς πολεμίους ὡς παρὰ φιλίους, αὐτὸς ἕκαστος δοκῶν ὕστερος παραγίγνεσθαι. οὕτως οὖν καθ' 4
ἕνα καὶ δύο οἱ πλεῖστοι ἀπώλλυντο, μέχρι χρόνῳ ὕστερον ἔγνωσαν τὸ συμβαῖνον, τῆς πόλεως ἤδη κατεχομένης. προνοοῦντα οὖν χρή, ἐγγὺς ὄντων τῶν πολεμίων, πρῶ- 5
τον μὲν τὰ ἀποστελλόμενα ἐκ τῆς πόλεως κατὰ γῆν ἢ

1. ἐγγυτάτας *M* || 3. τε] Malim δέ | ἄλλας ἕκαστον ἐγγύτατα εὐρυχωρίας *M* || 7. τοὺς κατοῖκον τέκνα καὶ γυναῖκας οὐ πρόσω *M* || 8. Post διατελοῦντες in *M* est τῶν τε ἀρχόντων δεῖ προκεκληρῶσθαι εἰς ὃν ἕκαστοι τόπον ἐλθόντες τῶν συλλεγέντων ἐπὶ τὰ τείχη ἀποστελοῦσι καὶ τῶν λοιπῶν ἕνεκα ἐπιμελείας ἡγεμόνες ἔσονται ἅνπερ εὐθὺς ἡγεμονεύσωσιν ὧδε || 9. ἔπειτα οὕτω] εὐθύτατα δὲ αὐτοῖς *M* || 11. ὑπὸ φυγάδων ὁρμωμένων Kirchhoffius || 12. Ἐρετρίας Meinekius: ἐρετρείας *M* || 13. κατὰ τὸ ἐρημότατον τῆς πόλεως καὶ πύλας οὐκ ἀνοιγομένας ἔχων ἔφερεν πύργαστρήνην φυλάσσων τὰς ἡμέρας καὶ τὰς νύκτας ἔλαθεν νυκτὸς τὸν μοχλὸν διαπρήσας *M* || 16. ταύτῃ τοὺς C: ταῦτα ἢ *M* || 18. Post Χαλκιδέων in *M* est δι' ἄγνοιαν ἀπόλλυνται οἱ γάρ | ἐτίθεντο H: ἐτίθεντο φέροντες *M* || 19. παρὰ τοὺς πολεμίους ὡς παρὰ φιλίους] πρὸς τοὺς πολεμίους ὡς πρὸς φίλους *M* || 20. ὕστερος H: ὕστερον *M* | παραγίνεσθαι *M* || 21. ἀπώλλυντο C: ἀπώλλοιντο *M* || 23. πολεμοῦντα οὖν χρὴ καὶ ἐγγὺς ὄντων τῶν πολεμίων πρῶτον μὲν τὰ ἀποστελλόμενα ἐκ τῆς πόλεως κατὰ γῆν ἢ κατὰ

κατὰ θάλατταν ἐπί τινα πρᾶξιν μετὰ συσσήμων ἀποστέλλειν καὶ ἡμερινῶν καὶ νυκτερινῶν, ἵνα μὴ ἀγνοῶσιν οἱ ὑπομένοντες πολεμίων αὐτοῖς ἐπιφαινομένων εἰ
6 φίλιοι ἢ πολέμιοι εἰσίν. ἐπὶ δὲ πρᾶξιν πορευθέντων καὶ πέμπειν τινὰς γνωσομένους, ἵνα ὡς ἐκ πλείστου τὰ τῶν 5
ἀπόντων οἱ ὑπομένοντες εἰδῶσι· μέγα γὰρ ἂν φέροι πρὸς
7 τὸ μέλλον ἐκ πλείονος παρασκευάζεσθαι. τοῖς δὲ μὴ οὕτω πράττουσιν ἃ συμβέβηκεν ἐμφανισθήσεται τῶν ἤδη γενομένων, ἵνα ἐπὶ παραδείγματος καὶ μαρτυρίου καθα-
8 ροῦ παραλέγηται. Πεισιστράτῳ γὰρ Ἀθηναίων στρατη- 10
γοῦντι ἐξηγγέλθη ὅτι οἱ ἐκ τῶν Μεγάρων ἐπιχειροῖεν ἀφικόμενοι πλοίοις ἐπιθέσθαι νυκτὸς ταῖς τῶν Ἀθηναίων γυναιξί, θεσμοφόρια ἀγούσαις ἐν Ἐλευσῖνι· ὁ δὲ Πεισί-
9 στρατος ἀκούσας προενήδρευσεν. ἐπεὶ δὲ οἱ ἐκ τῶν Μεγάρων ὡς λεληθότες ἀπέβησαν καὶ ἀπὸ τῆς θαλάττης 15
ἐγένοντο, ἐξαναστὰς ὁ Πεισίστρατος τῶν ἐνεδρῶν τῶν τε ἀνδρῶν διέφθειρε τοὺς πλείστους, καὶ τῶν πλοίων οἷς
10 ἀφίκοντο ἐγκρατὴς ἐγένετο. ἔπειτα παραχρῆμα τοῖς ἑαυτοῦ στρατιώταις πληρώσας τὰ πλοῖα ἔλαβε τῶν γυναικῶν τὰς ἐπιτηδειοτάτας συμπλεῦσαι, καὶ κατήγετο εἰς τὰ Μέ- 20
11 γαρα ὀψὲ ἀπωτέρω τῆς πόλεως. κατιδόντες οὖν τὰ πλοῖα προσπλέοντα ἀπήντων πολλοὶ τῶν Μεγαρέων, αἵ τε συναρχίαι καὶ ἄλλοι, θεασόμενοι ὡς εἰκὸς αἰχμαλώτους ἀγομένας ὡς πλείστας ** καὶ μετ' ἐγχειριδίων ἀποβάντας τοὺς
μὲν καταβαλεῖν, ὅσους δὲ ἂν δύναιντο τῶν ἐπιφανεστά- 25
12 των συναρπάζειν εἰς τὰ πλοῖα. καὶ οὕτως ἐπράχθη.

θάλατταν ἐπί τινα πρᾶξιν πρὸς τοὺς ὑπομένοντας μετασυσσήμων ἀποστέλλεσθαι καὶ ἡμερινῶν καὶ νυκτερινῶν ἵνα μὴ ἀγνοῶσιν πολεμίων αὐτοῖς M ‖ 3. *εἰ* addidit C ‖ 4. *ἐπὶ δὲ πρᾶξιν πορευθέντων καὶ πέμπειν τινὰς γνωσομένους*] Verba corrupta ‖ 5. *ἵνα*] *ἵνα καὶ τὰ τοιαῦτα M* | *τὰ τῶν ἀπόντων* Hauptius: *τῶν ἀπόντων M* ‖ 6. *εἰδῶσι* Kirchhoffius: *ἴδωσιν M* ‖ 11. *τῶν* addidi | *Μεγάρων* COrellius: *μεγάρων οἳ M* ‖ 14. *προενήδρευσεν* Orellius: *προσενήδρευσεν M* ‖ 16. *τῶν ἐνεδρῶν τῶν* Kirchhoffius: *τῶν ἐνεδρευόντων M* | *τῶν τε ἀνδρῶν ἐκράτησεν καὶ διέφθειρεν τοὺς πλείστους M* ‖ 23. *καὶ οἱ ἄλλοι M* | *θεασόμενοι* Kirchhoffius: *θεώμενοι M* ‖ 26. Post *καὶ οὕτως ἐπράχθη* in *M* est *δῆλον οὖν ὅτι μετὰ συσσήμων καὶ μὴ ἀγνοουμένων πρὸς ἀλλήλους τὰς ἀφορμὰς καὶ τὰς πέμψεις δεῖ ποιεῖσθαι* ‖

Ἔπειτα πυλωροὺς καθιστάναι μὴ τοὺς τυχόντας 5
ἀλλὰ φρονίμους καὶ ἀγχίνους, ἔτι δὲ καὶ εὐπόρους καὶ
οἷς ἐνέχυρα ἐν τῇ πόλει ὑπάρχει, τέκνα καὶ γυναῖκας
λέγω, ἀλλὰ μὴ οἵτινες δι' ἔνδειαν ἢ συναλλαγμάτων ἀνάγ-
κην ἢ δι' ἄλλην τινὰ ἀπορίαν πεισθεῖεν ἂν ὑπό τινων
ἢ αὐτοὶ παραπείσειαν ἄν τινας ἐπὶ νεωτερισμῷ. Λεύ- 2
κων δὲ ὁ Βοσπόρου τύραννος καὶ τῶν φρουρῶν τοὺς
χρεωφειλέτας διὰ κυβείαν ἢ δι' ἄλλας ἀκολασίας ἀπο-
μίσθους ἐποίει.

Χρὴ δὲ καὶ ἡμεροσκόπους πρὸ τῆς πόλεως καθι- 6
στάναι ἐπὶ τόπῳ ὑψηλῷ καὶ ὡς ἐκ πλείστου φαινομένῳ,
ἡμεροσκοπεῖν δὲ ἐφ' ἑκάστῳ χωρίῳ τρεῖς τοὐλάχιστον,
μὴ τοὺς τυχόντας, ἀλλ' ἐμπείρους πολέμου, ὅπως μὴ δι'
ἄγνοιαν δόξαν τινὰ ὁ σκοπὸς σημήνῃ ἢ διαγγείλῃ εἰς
τὴν πόλιν, καὶ ματαίως ὀχλήσῃ τοὺς ἀνθρώπους. πά- 2
σχουσι δὲ ταῦτα οἱ ἄπειροι τάξεων καὶ πολέμου, ἀγνοοῦν-
τες τὰς τῶν πολεμίων ἐργασίας καὶ πράξεις, εἴτε ἐκ
παρασκευῆς πράσσονται, εἴτε καὶ ἀπὸ ταὐτομάτου. ὁ 3
δὲ ἔμπειρος, γνοὺς τὴν τῶν πολεμίων παρασκευὴν καὶ
τὸ πλῆθος καὶ τὰς πορείας καὶ τὴν ἄλλην κίνησιν τοῦ
στρατεύματος, οὕτω τὴν ἀλήθειαν ἐμφανιεῖ. ἐὰν δὲ μὴ 4
ὑπάρχωσι τοιοίδε τόποι, ὥστε καὶ εἰς τὴν πόλιν ἀπ'
αὐτῶν φαίνεσθαι τὰ σημεῖα, ἄλλους ἐπ' ἄλλοις δια-
δεκτῆρας εἶναι τῶν αἰρομένων σημείων, οἳ σημανοῦσιν
εἰς τὴν πόλιν. εἶναι δὲ τοὺς ἡμεροσκόπους καὶ ποδώ- 5
κεις, ἵν', ἂν μὴ οἷόν τε διὰ τῶν σημείων δηλοῦν, ἀλλ'
αὐτῶν τινὰ δέῃ ἐξ ἀνάγκης ἀγγέλλειν, δύνωνται ταχὺ

---

2. ἀγχίνους] ἀγχίνους καὶ μὴ ὑπονοεῖν μη δυναμένους ἀεί τι τῶν εἰσκομιζομένων *M* || 5. ἂν adieci || 6. παραπείσειαν] παρακελεύσαιεν *M* || 14. δόξαν τινὰ] δοξάζον τι *M* | σημάνῃ *M* || 15. ὀχλήσῃ Meinekius: ὀχλῆ *M* | τοὺς ἀνθρώπους H: τοῖς ἀνθρώποις *M* || 18. πράσσεται *M* | παρατα ὐτομάτου *M*. non minus bene corrigi poterat ἐκ ταὐτομάτου || 20. Inserui τὸ et τάς || 22. ὥστε καὶ] καὶ deleverim || 23. ἐπ' ἄλλοις H: ἐπ' ἄλλοις τόποις *M* || 24. αἰρομένων H: ἀειρομένων *M* | σημανοῦσιν T: σημαίνουσιν *M* || 26. ἵν' – δηλοῦν] οἳ ὅσα μὴ οἷά τε τῶν σημείων δηλοῦν *M* ||

6 ἀφικνεῖσθαι, κἂν ἐκ πλείστου ἀγγέλλωσιν. ἄριστον δὲ
ἱππασίμων ὄντων τόπων καὶ ὑπαρχόντων ἵππων ἱππέας
συνεργεῖν, ἵνα διὰ τῶνδε θᾶσσον ἀγγέλληται. πέμπειν δὲ
ἐκ τῆς πόλεως τοὺς ἡμεροσκόπους ὄρθρου ἢ ἔτι νυκτός,
ἵνα τοῖς τῶν πολεμίων σκοποῖς μὴ κατάδηλοι ὦσιν ἡμέ- 5
7 ρας πορευόμενοι ἐπὶ τὰ ἡμεροσκοπεῖα. σύνθημα δὲ μὴ
ἔχειν αὐτοὺς ἓν καὶ τὸ αὐτό, ὅπως μήτε ἑκόντες μήτε
ἄκοντες, ἐὰν συλληφθῶσιν ὑπὸ τῶν πολεμίων, εἰπεῖν
ἔχωσι τὸ τῶν ἐν τῇ πόλει σύνθημα. παραγγέλλεσθαι δὲ
τοῖς ἡμεροσκόποις αἴρειν τὰ σύσσημα ἐνίοτε, καθάπερ 10
οἱ πυρσευταὶ τοὺς πυρσούς.

7 Ὅταν δὲ ἡ χώρα ἐγκάρπως διακέηται, μὴ πόρρω
ὄντων τῶν πολεμίων, εἰκὸς πολλοὺς τῶν ἐν τῇ πόλει
περὶ τοὺς ἐγγὺς χώρους διατελεῖν, γλιχομένους τοῦ καρ-
2 ποῦ. τούτους δ᾽ οὖν εἰς τὴν πόλιν ἀθροίζειν ὧδε χρή. 15
πρῶτον μὲν τοῖς ἔξω ἅμα ἡλίῳ δύνοντι σημαίνειν ἀπιέ-
ναι εἰς τὴν πόλιν· ἐὰν δὲ ἐπὶ πλέον τῆς χώρας ἐσκε-
δασμένοι ὦσιν, ὑπὸ διαδεκτήρων σημαίνεσθαι, ὅπως
3 πάντες ἢ οἱ πλεῖστοι παραγίγνωνται εἰς τὴν πόλιν. ἐπει-
δὰν δὲ τούτοις σημανθῇ ἀπιέναι, οὕτως τοῖς ἐν τῇ πόλει 20
σημαίνειν δειπνοποιεῖσθαι· τὸ δὲ τρίτον σημαίνειν εἰς
4 φυλακὴν ἰέναι. ὡς δὲ δεῖ ταῦτα γίγνεσθαι καὶ ὡς αἴρειν
τοὺς φρυκτούς, ἐν τῇ Παρασκευαστικῇ βίβλῳ τελέως
εἴρηται. ὅθεν δεῖ τὴν μάθησιν λαμβάνειν, ἵνα μὴ δὶς
περὶ τῶν αὐτῶν γράφειν συμβῇ. 25

8 Μετὰ δὲ ταῦτα εἰς τὴν χώραν προσδεχόμενον πλείω
καὶ μείζω δύναμιν πολεμίων πρῶτον μὲν τὴν χώραν δυσ-
είσβολον τοῖς πολεμίοις καὶ δυσστρατοπέδευτον καὶ
δυσπόρευτον κατασκευάζειν καὶ τοὺς ποταμοὺς δυσδια-

---

1. κἂν] καὶ ὡς *M* || 3. συνεργεῖν] συνιμείρειν *M* || 6. ἡμεροσκοπεῖα C: ἡμεροσκοπία *M* | μὴ addiderunt T || 12. ἐγκάρπως H: ἔγκαρπος *M* | διακέηται G. Dindorfius: διάκειται *M* || 15. οὖν videtur delendum esse || 19. παραγίνωνται *M* | τὴν addidi et proxime σημαίνειν | εἰς φυλακὴν ἰέναι] εἰς φυλακὴν ἰέναι καὶ καθιστάναι *M* || 22. ταῦτα] τούτους *M* | γίνεσθαι *M* || 23. τελέως] πλειόνως *M* || 24. μὴ δὶς C: μηδεὶς *M* || 27. δυσεπίβολον εἶναι *M* | δυσεστρατοπέδευτον Meinekius || 29. δυσπροσπόριστον *M* ||

βάτους καὶ δύσπλους. πρός τε τὰς ἀποβάσεις τῶν πο- 2
λεμίων εἰς τὰ ψαμμώδη καὶ στερεὰ ὅσα καὶ οἷα χρὴ κα-
τασκευάζεσθαι δολώματα τοῖς ἀποβαίνουσι, τοῖς τε ἐν τῇ
χωρᾳ καὶ τῇ πόλει λιμέσιν οἷα δεῖ φράγματα παρασκευά-
ζεσθαι πρὸς τὸ μὴ εἰσπλεῖν ἢ τὰ εἰσπλεύσαντα μὴ δύ-
νασθαι ἐκπλεῦσαι, τά τε καταλιμπανόμενα μὲν ἐν τῇ 3
χώρᾳ ἀκουσίως εἰς χρείαν δὲ φέροντα τοῖς ἐναντίοις,
οἷον τὰ πρὸς τειχοποιίαν ἢ σκηνοποιίαν ἢ ἄλλην τινὰ
πρᾶξιν, τά τε βρωτὰ καὶ ποτὰ καὶ τὰ κατ᾽ ἀγροὺς 4
ἔγκαρπα ὡς δεῖ ἀχρεῖα ποιεῖν ἢ ἀφανίζειν, καὶ τὰ
κατὰ τὴν χώραν στάσιμα ὕδατα ὡς ἄποτα δεῖ ποιεῖν,
τά τε ἱππάσιμα τῆς χώρας ὡς δεῖ ἀνίππα ποιεῖν, περὶ 5
οὖν τούτων πάντων ὧδε μέν μοι παραλείπεται, γέγραπται
δὲ τελέως περὶ αὐτῶν ἐν τῇ Παρασκευαστικῇ βίβλῳ.

Ἂν δὲ θρασύνεσθαί τι ἐπιχειρῶσιν οἱ ἐπιόντες πρός 9
σε, τάδε ποιητέον. πρῶτον μὲν χρὴ σώμασι τόπους τι-
νὰς τῆς οἰκείας χώρας καταλαβεῖν, ἔπειτα ἐκκλησιάσαντα
τοὺς σεαυτοῦ στρατιώτας ἢ πολίτας ἄλλα τε προειπεῖν
αὐτοῖς, ὡς ὑπαρχούσης τινὸς αὐτοῖς πράξεως εἰς τοὺς
πολεμίους, καὶ ὅταν νυκτὸς σημήνῃ τῇ σάλπιγγι, ἑτοί-
μους εἶναι τοὺς ἐν τῇ ἡλικίᾳ, ἀναλαβόντας τε τὰ ὅπλα
καὶ ἀθροισθέντας εἰς χωρίον ῥητὸν ἕπεσθαι τῷ ἡγου-
μένῳ. διαγγελθέντων οὖν τούτων εἰς τὸ στρατόπεδον τῶν 2
πολεμίων ἢ τὴν πόλιν, δύνασαι ἀποτρέψαι ὧν ἐπιχει-
ροῦσι πράσσειν. τούτων δὲ οὕτω πραχθέντων τοῖς μὲν 3
φιλίοις θάρσος ἐμποιήσεις, ὥστε ἐπιχειρεῖν· τοῖς δὲ

---

1. δύσπλους] πλείους *M* ‖ 4. οἷα] οἷα εἰς τούτους *M* ‖ 6. μὲν inserui ‖ 7. ἀκουσίως T: ἑκουσίως *M* ‖ 8. οἷον τὰ πρὸς] οἷον πρός τε *M* | ἢ ἄλλην τινὰ πρᾶξιν ὡς δὴ ἀχρεῖα ποιεῖν ἢ φθείροντα ἀφανίζειν τά τε βρωτὰ καὶ ποτὰ καὶ τὰ κατ᾽ ἀγροὺς ἔγκαρπα καὶ τὰ κατὰ τὴν χώραν *M* ‖ 10. καὶ τὰ κατὰ τὴν χώραν στάσιμα ὕδατα] καὶ τὰ ἄλλα κατὰ τὴν χώραν στάσιμα ὕδατα *M* ‖ 12. περὶ μὲν οὖν *M* ‖ 13. μέν μοι] μὲν νῦν *M* | Post παραλείπεται in *M* est ὡς δεῖ ἕκαστον τούτων γίνεσθαι ἵνα μὴ καὶ ταῦτα λίαν πολλὰ δηλοῦται ‖ 18. σεαυτοῦ] αὐτοῦ *M* ‖ 20. σημήνῃ H: σημάνῃ *M* ‖ 21. Addidi τε ‖ 24. δύνασαι H: δύνανται *M* | ἐπιχειρῶσι *M* ‖ 26. ἐμποιήσεις T: ἐμποιήσειας *M* | ὥστε ἐπιχειρεῖν] ἐπιχειρεῖν τι ἄλλου δεδιὼς *M* ‖

πολεμίοις φόβον ἐμπαρασκευάσεις, ὥστε ἐπὶ τῆς αὐτῶν ἠρεμεῖν.

10 Λεῖ δὲ καὶ τάδε παρηγγέλθαι. τῶν πολιτῶν τοὺς κεκτημένους ζεύγη ἢ ἀνδράποδα ὑπεκτίθεσθαι εἰς τοὺς
2 προσοίκους, ὡς οὐκ εἰσαξόντων εἰς τὴν πόλιν. οἷς δ' ἂν 5
μὴ ὑπάρχωσι ξένοι παρ' οὓς θήσονται, τοὺς ἄρχοντας δη-
μοσίᾳ παρατίθεσθαι τοῖς προσοίκοις, παρασκευάζοντας
3 δι' ὧν σωθήσεται τὰ ὑπεκτιθέμενα. ἔπειτα κηρύγματα
ποιεῖσθαι τοιάδε διά τινος χρόνου, φόβου καὶ ἀποτρο-
πῆς τῶν ἐπιβουλευόντων ἕνεκα. κατακομίζειν τὰ ἐλεύ- 10
θερα σώματα καὶ τοὺς καρποὺς εἰς τὴν πόλιν, τοῦ δὲ
ἀνηκουστοῦντος ἐξουσίαν εἶναι τῷ βουλομένῳ ἀζήμια ἄγειν
4 καὶ φέρειν τὰ ἐκ τῆς χώρας. τάς τε ἑορτὰς κατὰ τὴν
πόλιν ἄγειν, συλλόγους τε ἰδίους μηδαμοῦ μήτε ἡμέρας
μήτε νυκτὸς γίγνεσθαι, τοὺς δὲ ἀναγκαίους ἢ ἐν πρυ- 15
τανείῳ ἢ ἐν ἄλλῳ φανερῷ τόπῳ. μηδὲ θύεσθαι μάν-
5 τιν ἰδίᾳ ἄνευ τῶν ἀρχόντων. μηδὲ δειπνεῖν κατὰ συσ-
σιτίαν ἀλλ' ἐν ταῖς αὑτῶν οἰκίαις ἑκάστους, ἔξω γάμου
καὶ περιδείπνου, καὶ ταῦτα προαπαγγείλαντας τοῖς ἄρ-
χουσιν. ἐὰν δὲ ὦσι φυγάδες, ἐπικηρύσσειν, ὃς ἂν ἀστῶν 20
ἢ ξένων ἢ δούλων ἀποκινῇ, ἃ ἑκάστῳ τούτων ἔσται.
6 καὶ ἐάν τίς τινι τῶν φυγάδων συγγένηται ἢ δέξηται παρ'
ἐκείνου ἐπιστολὰς ἢ πέμψῃ, εἶναί τινα κίνδυνον ἢ ἐπι-
τίμιον αὐτῷ. τῶν δὲ ἐκπεμπομένων καὶ εἰσαγομένων
ἐπιστολῶν εἶναι ἐπισκόπους, πρὸς οὓς οἰσθήσονται πρό- 25
7 τερον. ὅπλα οἷς ἐστὶν ἑνὸς πλείω ἀπογράφεσθαι, καὶ
εἰσάγειν μηδένα μηδὲν ὅπλον, μηδὲ ἐνέχυρον δέχεσθαι.
στρατιώτας μὴ μισθοῦσθαι μηδὲ ἑαυτὸν μισθοῦν ἄνευ
8 τῶν ἀρχόντων. ἐκπλεῖν μηδένα ἀστῶν μηδὲ μέτοικον

---

1. ὥστε inseruit C || 4. Fortasse παρὰ τοὺς προσοίκους || 5. εἰσαξόντων C: εἰσαξιόντων *M* || 6. ὑπάρχωσι ξένοι] ὑπάρξη ξενία *M* | τοὺς H: πρὸς τοὺς *M* || 10. ἕνεκεν *M* || 11. ἐν τῇ πόλει *M* || 13. Inserui τήν || 15. γίνεσθαι *M* | πρυτανείῳ C: πυρσανείῳ *M* | Post πυρσανείῳ in *M* est ἢ ἐν βουλῇ || 17. τοῦ ἄρχοντος *M* || 22. ἢ – πέμψῃ] ἢ παρ' ἐκείνων τισὶν ἢ ἐπιστολὰς πέμψῃ ἢ δέξηται *M* || 25. ἐπισκόπησιν *M* | οἰσθήσονται T: οἰσθήσεται *M* || 27. εἰσάγειν Kirchhoffius: ἐξάγειν *M* || 29. Addidi τῶν ||

ἄνευ συμβόλου, τά τε πλοῖα ὁρμίζεσθαι καθ' ἃς πύλας ἐν τοῖς ἐχομένοις ῥηθήσεται. ξένους τοὺς ἀφικνουμένους 9
τὰ ὅπλα ἐμφανῆ καὶ πρόχειρα φέρειν, καὶ εὐθὺς αὐτῶν παραιρεῖσθαι, καὶ αὐτῶν μηδένα ὑποδέχεσθαι μηδὲ
5 τοὺς πανδοκέας ἄνευ τῶν ἀρχόντων, τοὺς δὲ ἄρχοντας ἀπογράφεσθαι καὶ παρ' ᾧτινι ἂν κατάγωνται. τὰς δὲ 10
νύκτας ὑπὸ τῶν ἀρχόντων τὰ πανδοκεῖα ἔξωθεν κλείεσθαι· διὰ χρόνου δέ τινος, ὅσοι ἂν ταλαπείριοι αὐτῶν
ὦσιν, ἐκκηρύττεσθαι. ὁμοτρόπως δὲ καὶ τοὺς κατὰ παίδευ-
10 σιν ἢ κατ' ἄλλην τινὰ χρείαν ἐπιδημοῦντας ἀπογράφεσθαι. ταῖς δὲ δημοσίᾳ ἀφικνουμέναις πρεσβείαις ἀπὸ 11
πόλεων ἢ στρατοπέδων οὐ χρὴ τὸν ἐθέλοντα διαλέγεσθαι, ἀλλὰ εἶναί τινας τῶν πολιτῶν τοὺς πιστοτάτους, οἳ μετ'
αὐτῶν συνδιατελοῦσι, μέχρι ἂν ἐνδημῶσιν οἱ πρέσβεις.
15 καὶ ὧν ἂν σπανίζῃ ἡ πόλις, σίτου ἢ ἐλαίου ἢ ἄλλου τινός, 12
τῷ εἰσάγοντι κατὰ πλῆθος τῶν εἰσαγομένων τόκους προκεῖσθαι καὶ στέφανον δίδοσθαι εἰς τιμήν, τῷ δὲ ναυ-
κλήρῳ ἀνολκὴν καὶ καθολκήν. ἐξοπλισίας τε πυκνὰς 13
ποιεῖσθαι, καὶ ξένους τοὺς ἐνδήμους τὸν καιρὸν τοῦτον
20 μεθίστασθαι εἰς χωρίον ῥητὸν ἢ κατ' οἶκον διατελεῖν. ὃς δ' ἂν ἄλλῃ φαίνηται, ζημίαν προκεῖσθαι ὡς ἀδικοῦντι.
ὅταν τε σημήνῃ, τὰ ἐμπόρια καὶ πρατήρια κλείεσθαι, 14
καὶ τὰ λύχνα κατασβέννυσθαι. καὶ τῶν ἄλλων μηδένα
ἔτι προϊέναι. ὅταν δέ τινι ἀναγκαῖόν τι συμβῇ, μετὰ 15
25 λαμπτῆρος βαδίζειν. καὶ ὃς ἂν καταμηνύσῃ τινὰ ἐπιβουλεύοντα τῇ πόλει, ἢ ὃς ἂν τῶν προγεγραμμένων τι

---

1. *πλοῖα*] *πλοῖα προσηγγέλθαι M* ‖ 2. *ἐν* addidi ‖ 3. *εὐθὺ M* ‖ 4. *παρῆσθαι M.* correxit Reiskius | *αὐτῶν* C: *αὐτοὺς M* ‖ 5. *πανδοκέας* Meinekius: *πανδοχέας M* ‖ 6. *ᾧτινι* C: *ᾧτινες M* | *ἂν κατάγωνται*] *ὅτ' ἂν κατάγονται M* ‖ 7. *πανδοκεῖα* Meinekius: *πανδοχεῖα M* ‖ 9. *ὁμοτρόπως δὲ καὶ*] *ὁμόρους δὲ ἢ M* ‖ 11. *δημοσίᾳ* C: *δημοσίαις M* | *ἀπὸ πόλεων ἢ τυράννων ἢ στρατοπέδων M* ‖ 12. Post *οὐ χρὴ* in *M* est *ἐν αὐτοῖς* ‖ 13. *ἀλλὰ εἶναι*] *ἀλλ' ἀεὶ M* ‖ 14. *συνδιατελοῦσι* COrellius: *συντελοῦσι M* | *μέχρις M* ‖ 18. *καθολκὴν* C: *καθολικὴν M* ‖ 20. *ὃς δ' ἂν* Reiskius: *ἢν δε ἂν M* ‖ 22. *τὰ τούτοις ἐμπόρια M* ‖ 23. *λύχνα* C: *ἔχνη M* ‖ 24. *προϊέναι*] *παρειναι M* ‖ 25. Post *βαδίζειν* in *M* est *ἕως ἂν παραγγελθῇ* ‖ 26. *ὃς ἂν τῶν προγεγραμμένων τι*] *ὅ τι ἂν τῶν προγεγραμμένων τις M* ‖

πραττόμενον ἐξαγγείλῃ, ἀνηγγέλθαι τε αὐτῷ ἀργύριον καὶ τὸ ἀναγγελθὲν ἐμφανῶς προκεῖσθαι ἐν ἀγορᾷ ἢ ἐπὶ βωμοῦ ἢ ἐν ἱερῷ, ἵνα προχειρότερόν τις τολμήσῃ μη-
16 νύειν τι τῶν προγεγραμμένων. ἐπὶ δὲ μονάρχῳ ἢ στρατηγῷ φυγάδι χρὴ καὶ τάδε προκηρύττεσθαι.** ἐὰν δέ τι καὶ αὐτὸς πάθῃ ὁ ἀποκτείνας, τοῖς τέκνοις αὐτοῦ ἀποδίδοσθαι τὸ ἀναγγελθὲν ἀργύριον· ἐὰν δὲ μὴ ᾖ τέκνα,
17 τῷ ἐγγυτάτω γένους. καὶ ἐάν τις τῶν συνόντων τῷ φυγάδι ἢ μονάρχῳ ἢ στρατηγῷ πράξῃ τι τῶν προκειμένων,** ἀποδίδοσθαι, καὶ κάθοδον αὐτῷ εἶναι· διὰ γὰρ ταῦτα
18 προχειροτέρως ἂν ἐγχειροῖεν· ἐν δὲ ξενικῷ στρατοπέδῳ
19 τοιάδ' ἀναγγείλαντα σιγὴν πάντων ἀκουόντων κηρῦξαι. ἐάν τις βούληται ἀπιέναι μὴ ἀρεσκόμενος τοῖς παροῦσιν, ἐξεῖναι ἀπαλλάττεσθαι, ἀλλ' ὕστερον πεπωλήσεται· ἐὰν δέ τις φαίνηται βλάπτων τι τὸ στράτευμα ἢ διαλύων τὸ
20 στρατόπεδον, θάνατος ἔστω ἡ ζημία. μετὰ δὲ ταῦτα τῶν ἄλλων ἐξετάσεων ἐπιμέλειαν ποιητέον. καὶ πρῶτον μὲν ἐπισκεπτέον εἰ ὁμονοοῦσιν οἱ πολῖται, ὡς ἂν ὄντος μεγίστου τούτου ἀγαθοῦ ἐν πολιορκίᾳ· εἰ δὲ μή, τοὺς τὰ ἐναντία φρονοῦντας τοῖς παροῦσι πράγμασι καὶ μάλιστ' ἂν ἡγεμόνας τε καὶ αἰτίους γενομένους τῇ πόλει πρά-
21 ξεώς τινος μεθιστάναι ἀνυπόπτως, μετὰ προφάσεως εὐλόγου ἐκπέμποντα ἄλλῃ ὡς πρέσβεις τε καὶ ἐπ' ἄλλας δημοσίας ἐργασίας. οἷον καὶ Διονύσιος ἔπραξε Λεπτίνην τὸν ἀδελφὸν αὐτοῦ, ἔχοντα Συρακοσίων τῷ πλήθει οἰκείως. γενόμενος γὰρ αὐτῷ ἐν ὑποψίᾳ τινί, καὶ θέλων

---

2. ἀναγγελθὲν Kirchhoffius: ἀγγελθὲν *M* | ἢ ἐπὶ βωμοῦ] Delenda videntur || 4. ἢ στρατηγῷ φυγάδι Kirchhoffius: ἢ στρατηγῷ [ἢ φυγάδι δυναστεύοντι *M* || 17. ἀναγγελθὲν Kirchhoffius: ἀγγελθὲν *M* || 8. γένους Kirchhoffius: γενομένῳ *M* || 11. ἐν COrellius: ἐὰν *M* || 12. ἀναγγείλαντα Meierus: ἀναγγείλαντι *M* | ἐάν τις βούληται] εἴ τις βούλεται *M* || 14. Post πεπωλήσεται in *M* est τὰδ' ἐλάσσω τούτων ἀδικήματα κατὰ τὸν νόμον τὸν προκείμενον δεσμὸς ἢ ζημία || 17. ἐξετάσεων] τάξεων *M* || 18. Inserui μέν || 19. τοὺς τὰ ἐναντία φρονοῦντας Reiskius: τῶν τὰ ἐναντία φρονούντων *M* || 20. μάλιστ' ἄν] μαλιστα *M* || 21. τῇ] ἐν τῇ *M* || 22. μεθιστάναι] μεθιστάναι αὐτοὺς *M* || 25. Συρακοσίων Meinekius: συρακουσίων *M* | Post οἰκείως in *M* est καὶ ὁρῶν κατὰ πολλὰ ἰσχυρὸν αὐτὸν ὄντα ||

αὐτὸν μεταστήσασθαι, φανερῶς μὲν οὐκ ἐπεχείρει ἐκβάλλειν αὐτόν, γνοὺς ὅτι περὶ αὐτὸν πολλὴ μετ᾽ εὐνοίας ἰσχὺς ἔσοιτο καὶ νεώτερον ἄν τι γένοιτο, τεχνάζει δὲ τοιόνδε. πέμπει αὐτὸν μετὰ ξένων ὀλίγων εἰς πόλιν 22
ὄνομα Ἰμέραν, κελεύων φρουρὰν τὴν μὲν ἐξαγαγεῖν τὴν δ᾽ ἐγκαταστῆσαι. γενομένου δὲ αὐτοῦ ἐν τῇ Ἰμέρᾳ, πέμψας ἐκέλευσεν αὐτὸν περιμένειν, μέχρι ἂν αὐτὸς μεταπέμψηται. πόλεως δ᾽ ὁμηρευομένης, ὅταν ἐπ᾽ αὐτὴν στρα- 23
τεία γίγνηται, τοὺς γονέας τῶν ὁμηρευόντων καὶ τοὺς ἐγγυτάτω γένους μεθίστασθαι ἐκ τῆς πόλεως, ἄχρι ἂν ἡ πολιορκία παρέλθῃ, ἵνα μὴ ἐφορῶσιν ἐν ταῖς προσαγωγαῖς τῶν πολεμίων τοὺς αὑτῶν παῖδας συμπροσαγομένους καὶ τὰ ἔσχατα πάσχοντας· ἐγχωρεῖ γὰρ αὐτοὺς ἔνδον ὄντας καὶ ὑπεναντίον τι πρᾶξαι. ἐὰν δὲ ἄρα δυσχερὲς 24
ᾖ μετὰ εὐλόγων προφάσεων ἐκπέμπειν, ἐᾶν διάγειν αὐτοὺς ὡς ἐλαχίστων μετέχοντας ἔργων καὶ πράξεων καὶ μήτε ὅπου ἔσονται μήτε ὅ τι πράξουσι προειδότας καὶ ὡς ἥκιστα ἐπὶ σφῶν αὐτῶν διατελοῦντας καὶ νύκτα καὶ ἡμέραν, ἢ καὶ ἄλλας ἐπ᾽ ἄλλαις πράξεις καὶ λειτουργιῶν
αὐτοῖς πλῆθος ἐπιρριπτεῖν ἀνυπόπτως. ἔστωσαν δὲ διει- 25
λημμένοι εἰς παρατήρησιν· οὕτω γὰρ ἂν διακείμενοι ἥκιστα ἂν δύναιντο νεωτερίσαι. ἔτι τοίνυν μήτε εἰς τὰς ἐκκοιτίας λαμπτῆρας ἐπιφέρεσθαι μήτε ἄλλο νυκτερινὸν φέγγος· ἤδη γάρ τινες, ἐπεὶ πάντη ἐξείργοντο, μήτε νεω-
τερίσαι ἔχοντες μήτε πρὸς τοὺς πολεμίους τι πρᾶξαι, τοιόνδε ἐτέχνασαν. ἐν γὰρ τοῖς καλάθοις καὶ στρώμασιν 26

---

6. δ᾽ ἐγκαταστῆσαι Meinekius: δὲ καταστῆσαι *M* || 7. μέχρις *M* || 8. στρατεία H: στρατιᾶ *M* || 9. γίνηται *M* | γονεῖς *M* || 10. ἐγγυτάτω γένους Kirchhoffius: ἐγγὺς τὰ γένη *M* | ἄχρις *M* || 14. δυσχερὲς C: δυσχερὴς *M* || 15. ᾖ addiderunt T | εὐλόγων] τῶνδε τῶν *M* | ἐᾶν διάγειν] συνδιάγειν *M* || 17. προειδότας] προειδέναι *M* || 18. διατελοῦντας] διατηροῦντας *M* || 19. Inserui ἤ | ἄλλαις Meierus: ἄλλας *M* | λειτουργίας αὐτοῖς τὸ πλῆθος ἐπιρρεῖν ἀνυπόπτως *M* || 20. Post ἀνυπόπτως in *M* est μεθ᾽ ὧν ὄντες ἐν φυλακῇ μᾶλλον ἔσονται ἢ φυλάξουσί τι || 21. εἰς παρατήρησιν T: ὡσεὶ παρὰ τρισὶν *M* || 23. ἐκκοιτίας] κοίτας *M* | ἐπιφέρεσθαι] φέρεσθαι *M* || 24. ἐξείργοντο Reiskius: ἐξείργονται *M* | μὴ δὲ νεωτερίσαι θέλοντες μὴ δὲ *M* || 26. ἐτέχνασαν] τεχνάζουσι *M* | ἐν] σὺν *M* | καλάθοις

ἐπιφερόμενοι εἰς τὰς φυλακὰς λύχνα οἱ δὲ δᾷδας οἱ δὲ λαμπτῆρας, διὰ τούτων τῶν φεγγῶν σύσσημα ἐποιήσαντο.

11 Ἔτι δὲ καὶ τῶν πολιτῶν τοῖς ἀντιπροθυμουμένοις προσέχειν τὸν νοῦν καὶ μηδὲν εὐθέως ἀποδέχεσθαι διὰ
2 τάδε. ῥηθήσονται δὲ ἐξῆς αἱ ἐπιβουλαὶ ἐκ τῆς ** βίβλου
παραδείγματος ἕνεκα, ὅσαι κατὰ πόλιν ἐξ ἀρχόντων ἢ ἰδιωτῶν γεγόνασι, καὶ ὡς ἔνιαι αὐτῶν κωλυθεῖσαι διελύ-
3 θησαν. Χίου γὰρ μελλούσης προδίδοσθαι, τῶν ἀρχόντων τις, συμπροδιδοὺς καὶ ἀπατῶν τοὺς συνάρχοντας, ἔπεισε λέγων, ὡς, ἐπειδὴ εἰρήνη εἴη, τοῦ τε λιμένος τὸ κλεῖθρον εἰς γῆν ἀνασπάσαντας ξηρᾶναι δεῖ καὶ πισσαλοιφῆσαι καὶ τὰ παλαιὰ τῶν νεῶν ἅρμενα ἀποδόσθαι, τῶν τε νεωρίων ἐπισκευάσασθαι τὰ σαθρὰ καὶ τὴν ἐχομένην αὐτῶν στοὰν καὶ τὸν πύργον, ἐν ᾧ διητῶντο οἱ ἄρχοντες, ἐχόμενον τῆς στοᾶς, ἵνα ἐκ προφάσεως κλίμακες προσποριςθῶσι τοῖς μέλλουσι καταλαμβάνειν τὰ νεώρια καὶ
4 τὴν στοὰν καὶ τὸν πύργον. ἔτι δὲ συνεβούλευε καὶ τὸ πλῆθος τῶν τὴν πόλιν φυλασσόντων ἀπόμισθον ποιῆσαι,
5 ἵν᾽ ὡς ἐλάχιστον δῆθεν ἀνάλωμα τῇ πόλει ᾖ. καὶ ἄλλα τούτοις ὁμότροπα λέγων ἔπεισε τοὺς συνάρχοντας ἅπερ ἐμελλε τοῖς προδιδοῦσι καὶ ἐπιτιθεμένοις συνοίσειν πρὸς
6 τὴν κατάληψιν. ἅμα δὲ τοῦ τείχους ἐκδήσας κατεκρέμασε δίκτυα ἐλάφεια καὶ σύεια, ὡσεὶ ξηρᾶναι θέλων, καὶ ἄλλῃ ἱστία ἔξω τοὺς κάλους ἔχοντα, καθ᾽ ἅπερ ἐν νυκτὶ ἀνέ-
7 βησαν οἱ στρατιῶται. πρὸς δὲ ἀντιστασιώτας τοιόνδε ἐπράχθη ἐν Ἄργει. μελλόντων γὰρ τῶν πλουσίων τὴν

COrellius: *ἀκολούθοις M* | *καὶ στράμασι φερομένοις εἰς τὰς φυλακὰς λύχνα οἱ δὲ δᾶδας οἱ δὲ λαμπτῆρας ἵνα δὲ πρός τι κοιτασθῶσιν τοῦτον τὸν φεγγαῖον σύσσημον ἐποιήσαντο M* ‖ 2. Post *ἐποιήσαντο* in *M* est *διὸ δεῖ πάντα τὰ τοιαῦτα ὑποπτεύειν* ‖ 3. *τοῖς δεῖ* × *ἀντιπροθυμουμένοις M.* malim *ἀντιπολιτευομένοις* ‖ 4. *διὰ τάδε*] Deleta malim ‖ 6. *ἕνεκεν* ‖ 9. *συνάρχοντας* C: *ἄρχοντας M* ‖ 12. *τῶν τε νεωρίων ἐπεσκευάσθαι τὰ στάζοντα M* ‖ 19. *ᾗ* C: *ἢ M* ‖ 20. Post *συνάρχοντας* nescio an inserendum sit *ποιῆσαι* ‖ 21. *ἔμελλον M* | *ἐπιτιθεμένοις* T: *ἐπιθεμένοις M* ‖ 22. Post *κατάληψιν* in *M* est *ὥστε ἀεὶ δεῖ προσέχειν τοῖς τὰ τοιαῦτα τελειοῦν σπουδάζουσιν* | *ἐκδήσας* Hauptius: *ἐπιδήσας M* ‖ 24. *ἱστία* COrellius: *σύεια M* ‖ 25. *οἱ* adieci ‖

δευτέραν ἐπίθεσιν ἐπιτίθεσθαι τῷ δήμῳ καὶ ξένους ἐπαγομένων, ὁ τοῦ δήμου προστάτης, προαισθόμενος τὸ μέλλον, τῶν ἐπιθησομένων τῷ δήμῳ ἄνδρας δύο προσποιησάμενος φίλους εἶναι ἀπορρήτους, πολεμίους αὐτῷ καθίστη ὁρατούς, καὶ ἐποίει κακῶς ἐν τῷ φανερῷ, σιγῇ δὲ τὰ τῶν ἐναντίων βουλεύματα ἤκουε παρ' αὐτῶν. ἐπεὶ 8 δὲ ἐπὶ τῷ εἰσάγεσθαι τοὺς ξένους ἦσαν οἱ πλούσιοι, καὶ εἰς τὴν ἐπιοῦσαν νύκτα ἔμελλε τὸ ἔργον ἔσεσθαι, ἔδοξε τῷ τοῦ δήμου προστάτῃ τάχιστα ἐκκλησίαν συναγαγεῖν καὶ τὸ μὲν μέλλον μὴ προειπεῖν, ἵνα μὴ πᾶσα ἡ πόλις ταραχθῇ, εἰπεῖν δὲ ἄλλα τε καὶ ὅτι συμφέρον εἴη ἐν τῇ ἐπιούσῃ νυκτὶ σὺν τοῖς ὅπλοις πάντας ὁμοίως παρεῖναι ἐν τῇ αὑτοῦ φυλῇ ἕνα ἕκαστον. ἐὰν δέ τις 9 ἄλλῃ τὰ ὅπλα ἐξενεγκάμενος φανῇ, ὡς προδότης καὶ ἐπιβουλεύων τῷ δήμῳ πασχέτω τι. παραπλησίως δὲ ἐν 10 Ἡρακλείᾳ τῇ ἐν τῷ Πόντῳ, οὔσης δημοκρατίας καὶ ἐπιβουλευόντων τῶν πλουσίων τῷ δήμῳ καὶ μελλόντων ἐπιτίθεσθαι, προγνόντες οἱ προστάται τοῦ δήμου τὸ μέλλον, οὐσῶν αὐτοῖς τριῶν φυλῶν καὶ τριάκοντα ἑκατοστύων, ἔπεισαν τὸ πλῆθος ἑξήκοντα θεῖναι ἑκατοστύας, ἵνα ἐν ταύταις καὶ εἰς τὰς φυλακὰς καὶ εἰς τὰς ἄλλας λειτουργίας φοιτῶσιν οἱ πλούσιοι. ὁμότροπον δέ τι τούτῳ κατέλαβεν 11 ἐν Λακεδαίμονι γενέσθαι. μηνυθείσης γὰρ ἐπιβουλῆς

---

3. Post ἐπιθησομένων in *M* est τινὰς τῶν ὑπεναντίων ὄντων ‖ 4. καθίστη Reiskius: καθίστησιν *M* ‖ 5. ὁρατούς T: αὐτούς *M* ‖ 6. τὰ τῶν] τὸ ἐκ τῶν *M* ‖ 7. ἐπὶ] ἐν *M* | Post οἱ πλούσιοι in *M* est ἅμα δὲ καὶ τῶν ἐν τῇ πόλει τινὲς ἦσαν ἕτοιμοι ‖ 9. τάχιστα C: ταχίστην *M* ‖ 10. μὲν inserui ‖ 11. εἰπεῖν T: εἰπόντα *M* ‖ 12. πάντας ὁμοίως] πάντας μὲν οὓς *M* ‖ 13. ἕνα] ὄντας *M* | ἕκαστον Meierus: ἑκατὸν *M* | ἐὰν δέ τις ἄλλῃ τὰ ὅπλα ἐξενεγκάμενος φανῇ] ἐὰν δέ τις ἄλλως ἐκθῆται τὰ ὅπλα ἢ ἄλλῃ ἐξενεγκάμενος φανῇ *M* ‖ 15. Post πασχέτω τι in *M* est τοῦτο δὴ αὐτὸ ἵνα κατὰ τὰς φυλὰς ὄντες οἱ πλούσιοι μὴ δύνωνται εἰς ταὐτὸ ἀθροισθέντες μετὰ τῶν ξένων ἐπιθέσθαι ἀλλ' ἐν ταῖς φυλαῖς ὄντες διακεχωρισμένοι ὦσιν ἐν πολλοῖς ὀλίγοι φυλέται καλῶς δὲ δοκεῖ καὶ ἀγχινόως μετ' ἀσφαλείας διαλῦσαι τὸ μέλλον ‖ 19. τριάκοντα Haasius: τεσσάρων *M* ‖ 20. θεῖναι] εἶναι *M* ‖ 22. Post οἱ πλούσιοι in *M* est συνέβαινεν καὶ ἐνταῦθα διεσκεδασμένους εἶναι τοὺς πλουσίους καὶ ἐν ταῖς ἑκατοστύσιν ὀλίγοις (ὀλίγους C) ἑκάστοθι παραγίνεσθαι ἐν πολλοῖς δημόταις | κατέλαβεν] καὶ παλαιὸν *M* ‖

τοῖς ἄρχουσιν ὅτι ὅταν ὁ πῖλος ἀρθῇ ἐπιθήσονται, ἔπαυσαν τοὺς ἐγχειροῦντας ἐπιθέσθαι, κήρυγμα ἀναγγείλαν-
13 τες τοὺς τὸν πῖλον μέλλοντας αἴρειν μὴ ἆραι. ἐν Κερκύρᾳ δὲ ἐπανάστασιν δέον γενέσθαι ἐκ τῶν πλουσίων καὶ ὀλιγαρχικῶν τῷ δήμῳ (ἐπεδήμει δὲ καὶ Χάρης Ἀθηναῖος φρουρὰν ἔχων, ὅσπερ συνήθελε τῇ ἐπαναστάσει) ἐτεχ-
14 νάσθη τοιόνδε. τῶν τῆς φρουρᾶς τινὲς ἄρχοντες σικύας προσβαλόμενοι καὶ τομὰς ἐν τῷ σώματι ποιησάμενοι καὶ αἱματωθέντες ἐξέδραμον εἰς τὴν ἀγορὰν ὡς πληγὰς ἔχοντες, ἅμα δ᾽ αὐτοῖς εὐθὺς προπαρεσκευασμένοι οἵ τε ἄλ-
15 λοι στρατιῶται τὰ ὅπλα ἐξηνέγκαντο καὶ τῶν Κερκυραίων οἱ ἐπιβουλεύοντες. τῶν δ᾽ ἄλλων ἀγνοούντων τὸ πρᾶγμα καὶ εἰς ἐκκλησίαν παρακληθέντων συνελαμβάνοντο οἱ προστάται τοῦ δήμου, ὡς τῆς ἐπαναστάσεως γενομένης ἐξ αὐτῶν, καὶ τὰ ἄλλα μεθίστασαν πρὸς τὸ συμφέρον αὐτοῖς.

12 Χρὴ δὲ καὶ συμμάχων εἰς τὴν πόλιν ** μήποτε ἅμα διατελεῖν τοὺς συμμάχους, ἀλλὰ διεσκεδάσθαι ὁμοτρό-
2 πως τοῖς προειρημένοις. τὸ δὲ αὐτὸ ποιεῖν καὶ μετὰ ξένων μισθοφόρων μέλλοντά τι πράσσειν. ἀεὶ δὲ χρὴ ὑπερέχειν πλήθει καὶ δυνάμει τοὺς ἐπαγομένους πολίτας τῶν ξένων· εἰ δὲ μή, ἐπ᾽ ἐκείνοις γίγνονται αὐτοί τε καὶ
3 ἡ πόλις. οἷον Χαλκηδονίοις πολιορκουμένοις παρόντες σύμμαχοι ἔπεμψαν φρουρὰν αὐτοῖς οἱ τῶν Χαλχηδονίων σύμμαχοι. βουλευομένων τὰ αὐτοῖς συμφέροντα οὐκ ἔφασαν οἱ φρουροὶ ἐπιτρέψειν, ἐὰν μὴ καὶ Κυζικηνοῖς δοκῇ εἶναι συμφέροντα, ὥστε τοῖς Χαλκηδονίοις τὴν φρουρὰν

---

1. πῖλος C: πηλὸς *M* || 3. πῖλον C: πηλὸν *M* | αἴρειν] ἆραι *M* | Κερκύρᾳ C: κορκύρα *M* || 6. ἐπεδήμει C: ἐπιδημεῖ vel ἐπιδημεὶ *M* || 6. ὅσπερ C: ὥσπερ *M* || 8. προσβαλόμενοι C: προβαλλόμενοι *M* || 11. Κερκυραίων C: κορκυραίων *M* || 12. δ᾽ adiecit C || 14. τῆς inserui || 15. γενομένης Meinekius: γινομένης *M* || 17. Post πόλιν suppleveris ἐπηγμένων vel δεδεγμένων || 18. ὁμοτρόπως τῶν αὐτῶν ἕνεκεν τοῖς προειρημένοις *M* || 19. ποιεῖν addidi || 20. μέλλοντάς *M* | Adieci δέ || 22. γίνονται *M* || 23. Χαλκηδονίων Parisinus 2435: καλχιδονίων *M* || 25. ἔφασαν C: ἔφησαν *M* || 26. δοκῇ C: δοκεῖ *M* || 27. Χαλκηδονίοις C: καλχιδονίοις *M* ||

ἐφέδραν πολὺ φοβερωτέραν εἶναι τῶν προσκαθημένων πολεμίων. δεῖ οὖν μήποτε εἰς πόλιν οἰκείαν μείζω δύναμιν ἐπακτὸν δέχεσθαι τῆς ὑπαρχούσης τοῖς πολίταις, ξένοις τε χρώμενον ἀεὶ πολλῷ ὑπερέχειν τῆς τῶν ξένων δυνάμεως· οὐ γὰρ ἀσφαλὲς ξενοκρατεῖσθαι καὶ ἐπὶ μισθοφόροις γίγνεσθαι. οἷον καὶ Ἡρακλεώταις τοῖς ἐν τῷ Πόντῳ συνέβη. ἐπαγαγόμενοι γὰρ ξένους πλείονας τοῦ προσήκοντος, πρῶτον μὲν τοὺς ἀντιστασιώτας ἀνεῖλον, ἔπειτα αὐτοὺς καὶ τὴν πόλιν ἀπώλεσαν, τυραννευθέντες ὑπὸ τοῦ εἰσαγαγόντος τοὺς ξένους.

Ἂν δὲ δέῃ ξενοτροφεῖν, ὧδε ἂν ἀσφαλέστατα γίγνοιτο. χρὴ τοῖς ἐν τῇ πόλει εὐπορωτάτοις προστάξαι κατὰ δύναμιν παρασχεῖν ξένους ἕκαστον, τοὺς μὲν τρεῖς τοὺς δὲ δύο, τινὰς δὲ ἕνα· ἀθροισθέντων δὲ ὅσων δεῖ, οὕτω διελεῖν αὐτοὺς εἰς λόχους, καταστήσαντα ἐπ᾽ αὐτοὺς τῶν πολιτῶν τοὺς πιστοτάτους λοχαγούς. τὸν δὲ μισθὸν καὶ τὴν τροφὴν οἱ ξένοι παρὰ τῶν μισθωσαμένων λαμβανόντων, τὸ μέν τι παρ᾽ αὐτῶν, τὸ δὲ καὶ τῆς πόλεως συμβαλλομένης. καὶ διαιτάσθων ἕκαστοι ἐν ταῖς τῶν μισθωσαμένων οἰκίαις, εἰς δὲ τὰς λειτουργίας καὶ τὰς ἐκκοιτίας καὶ τὰ ἄλλα ἐπιτάγματα ἐκ τῶν ἀρχόντων ἀθροιζόμενοι ὑπὸ τῶν λοχαγῶν ὑπηρετούντων. κομιδῇ δὲ τοῖς προαναλίσκουσιν εἰς τοὺς ξένους χρόνῳ τινὶ γενέσθω ὑπολογιζομένων τῶν εἰς τὴν πόλιν εἰσφερομένων παρὰ ἑκάστου τελῶν· οὕτω γὰρ ἂν τάχιστά τε καὶ ἀσφαλέστατα καὶ εὐτελέστατα ξενοτροφηθείη.

13

---

1. ἐφέδραν] ἔσω ὁρᾶν *M* | προσκαθημένων Meierus: προκαθημένων *M* || 3. ἐπακτὸν C: ἐπ᾽ αὐτὸν *M* || 4. Post ἀεὶ in *M* est δεῖ τὴν πόλιν || 5. ἐπὶ C: ἔτι *M* || 6. γίνεσθαι *M* || 7. ἐπαγαγόμενοι Meinekius: ἐπαγόμενοι *M* || 10. εἰσαγαγόντος C: εἰσάγοντος *M* || 11. ἀσφαλέστατον *M* | γίνοιτο *M* || 13. Post δύναμιν in *M* est ἑκάστῳ || 14. δεῖ οὕτω] δέοιτο *M* || 15. καταστήσαντας *M* || 17. Malim παρὰ τῶν μισθωσαμένων λαμβανόντων, τὸ μέν τι αὐτῶν χορηγούντων, τὸ δὲ καὶ τῆς πόλεως συμβαλλομένης || 19. διαιτάσθωσαν *M* || 20. εἰς δὲ] οἱ δὲ *M* || 24. ὑπολογιζομένων Haasius: ὑπολογιζομένοις ὑπὸ *M* ||

14 *Τοῖς μὲν οὖν ἐν τῇ πόλει ὑπεναντία θέλουσι τοῖς καθεστηκόσι προσφέρεσθαι ὡς προγέγραπται· τὸ δὲ πλῆθος τῶν πολιτῶν εἰς ὁμόνοιαν τέως μάλιστα χρὴ προάγειν, ἄλλοις τε ὑπαγόμενον αὐτοὺς καὶ τοὺς χρεωφειλέτας κουφίζοντα, τῶν μὲν τόκων βραχύ τι ἢ ὅλους ἀφιέντα, ἐν δὲ τοῖς λίαν ἐπικινδύνοις καὶ τῶν ὀφειλημάτων τι μέρος ἢ καὶ πάντα ὅταν δέῃ (ὅπου γε καὶ φοβερώτατοι ἔφεδροί εἰσιν οἱ τοιοίδε ἄνθρωποι), τούς τε ἐν ἀπορίᾳ ὄντας τῶν ἀναγκαίων εἰς εὐπορίαν καθιστάντα.*

2 *καὶ ὅπως ἂν ἴσως καὶ ἀλύπως τοῖς πλουσίοις ταῦτα γίγνοιτο καὶ ἐξ οἵων πόρων πορίζοιτο, καὶ περὶ τούτων ἐν τῇ Πολιστικῇ βίβλῳ δηλωτικῶς γέγραπται.*

15 *Κατασκευασθέντων δὲ τούτων, ἄν τι ἀγγελθῇ ἢ πυρσευθῇ βοηθείας δεόμενον, ἐξιέναι ἐπὶ τὰ κακούμενα τῆς*

2 *χώρας. τὸν δὲ στρατηγὸν τοὺς παρόντας εὐθὺς συντάττειν, ἵνα μὴ σποράδην καὶ κατ' ὀλίγους ἐξιόντες ἐπὶ τὰ αὐτῶν ἀπολλύωνται δι' ἀταξίαν καὶ κόπον ἄκαιρον, ἐνεδρευόμενοί τε ὑπὸ τῶν πολεμίων καὶ κακὰ πάσχοντες.*

3 *ἀλλὰ χρὴ τοὺς παραγιγνομένους ἐπὶ τὰς πύλας ἀθροίζεσθαι μέχρι τινὸς πλήθους, ὡς λόχου ἢ διλοχίας, εἶτα συνταχθέντας καὶ ἡγεμόνος αὐτοῖς φρονίμου δοθέντος, οὕτως ἐκπέμπεσθαι καὶ σπεύδειν ἰόντας ἐν τάξει ὡς*

4 *μάλιστα. ἔπειτα ἄλλο καὶ ἄλλο πλῆθος ἐκπέμπειν, ἵνα καὶ ἐν τῇ πορείᾳ ἐχόμενα ᾖ τὰ μέρη, καὶ ἐάν τε τὰ μέρη δέῃ βοηθῆσαι ἐάν τε ἅμα πάντας δέῃ, ῥᾳδίως ὑπάρχῃ*

---

5. *τῶν μὲν* addidi | *βραχύ τι* Kirchhoffius: *βραχύτητι M* | *ὅλως M* | *ἀφιέντα*] *ἀφαιροῦντα M* || 7. *ἢ* adiecit Meierus | *δέῃ* Haasius: *δὲ M* | *ὅπου γε*] *ὡς πολύ γε M* || 9. *καθιστάναι M* || 10. *ἂν* adiecit Kirchhoffius | *γίγνοιτο*] *γιγνόμενα πράττοιτο M* || 11. *πόρων* C: *πόνων M* || 13. *κατασκευασθέντων δὲ τούτων*] Haec cum antecedentibus non satis cohaerent | *ἀγγελθῇ* C: *ἀγγελθὲν M* || 15. *τὸν δὲ στρατηγὸν τοὺς*] *τοὺς δὲ στρατηγοὺς M* | *συντάττειν* C: *συντάττει M* || 17. *ἀπολλύωνται* C: *ἀπολλύονται M* || 19. *τοὺς*] *τούς τε M* | *παραγινομένους M* || 20. *λόχου* C: *λόχω M* || 22. *ἰόντας* Reiskius: *ὄντας M* || 23. *ἄλλο καὶ ἄλλο* Meinekius: *καὶ κατὰ ἄλλο M* | *πλῆθος* C: *πάθος M* | *ἐκπέμπειν*] *οὕτως ἐκπέμπειν καὶ ἐν τάχει μέχρις οὗ ἱκανοὶ δοκοῦσιν ἐκβεβοηθηκέναι M* || 24. *ἐάν τε* C: *ἐὰν M* | *τὰ μέρη*] *τὰ μέρη μέρος M* || 25. *πάντα M* | *ὑπάρχῃ* C: *ὑπάρχειν M* ||

συμμίσγειν ἀλλήλοις, καὶ μὴ δρόμῳ πόρρωθεν παραγίγνωνται. πρὸ δὲ αὐτῶν δεῖ πρώτους τοὺς ὑπάρχοντας ἱππέας καὶ κούφους ἐξιέναι, μηδὲ τούτους ἀσκέπτως ἀλλὰ προεξερευνῶντάς τε καὶ προκαταλαμβάνοντας τὰ ὑψηλὰ τῶν χωρίων, ἵν' ὡς ἐκ πλείστου προειδῶσιν οἱ ὁπλῖται τὰ τῶν πολεμίων, καὶ μηδὲν ἐξαίφνης αὐτοῖς προσπέσῃ. περί τε τὰς καμπὰς τῶν χωρίων καὶ τὰς ἀναβάσεις τῶν ἀκρολοφιῶν καὶ τὰς ἐκτροπὰς τῶν ὁδῶν, ὅπου ἂν τρίοδοι ὦσιν, εἶναι σημεῖα, ἵνα μὴ περὶ ταῦτα σχίζωνται ἀπ' ἀλλήλων οἱ ὑπολελειμμένοι δι' ἄγνοιαν τῆς ὁδοῦ. ἀπιόντα τε εἰς τὴν πόλιν πεφυλαγμένως ἀναχωρεῖν ἄλλων τε ἕνεκα καὶ μάλιστα ἐνέδρας φοβούμενον πολεμίων· ἤδη γὰρ περὶ βοήθειαν ἀφύλακτον τοιόνδε συνέβη. Τριβαλλῶν ἐμβαλόντων εἰς τὴν Ἀβδηριτῶν χώραν, ἐπεξελθόντες Ἀβδηρῖται καὶ παράταξιν ποιησάμενοι κάλλιστον ἔργον εἰργάσαντο· συμβαλόντες γὰρ κατέβαλον πολλοὺς καὶ ἐνίκων πλῆθος πολὺ καὶ μάχιμον. οἱ δὲ Τριβαλλοί, ἀγανακτήσαντες τῷ συμβάντι, ἀπαλλαγέντες καὶ ἀναλαβόντες αὐτούς, πάλιν ἀφικόμενοι εἰς τὴν χώραν καὶ ἐνέδρας προκαθίσαντες ἔκειρον τὴν χώραν τὴν Ἀβδηριτῶν οὐ πόρρω τῆς πόλεως, οἱ δὲ Ἀβδηρῖται ὑπερφρονήσαντες αὐτῶν διὰ τὸ προειργασμένον ἔργον ἐπεβοήθουν παρασυδί, οἳ δὲ ὑπῆγον αὐτοὺς εἰς τὰς ἐνέδρας. ὅπου δὴ λέγεται ἐκ μιᾶς πόλεως, τοσαύτης γε τὸ μέγεθος, πλείστους ἐν ἐλαχίστῳ χρόνῳ ἀπολέσθαι. οὐδὲ γὰρ ἀκούσαντες τὸν ὄλεθρον τῶν πρώτων ἐπεξελθόντων οἱ ἄλλοι ἐπέσχον τῆς βοηθείας, ἀλλ' ἄλλος ἄλλον παρακαλῶν ἔσπευδε βοηθεῖν τοῖς ἐπεξελθοῦσι, μέχρι ἠρημώθη ἡ πόλις ἀνδρῶν.

---

1. *παραγίνωνται M* || 3. Inserui *ἀσκέπτως* || 4. *ἀλλὰ* adiecit C || 6. *ὁπλῖται* T: *πολῖται M* || 7. *προσπέσῃ* H: *προσπέσοι M* | *ἀναβάσεις* T: *βάσεις M* || 11. *ἀπιόντα* H: *ἀπιόντας M* || 12. *ἄλλων τε ἕνεκα*] *πολλῶν ἕνεκεν M* || 14. *ἐμβαλόντων* T: *ἐμβαλλόντων M* || 17. Malim *ἐνίκησαν* || 23. *παρασυδί* Meinekius: *πασσυδίη M.* verba *πάσῃ ῥώμῃ καὶ προθυμίᾳ*, quae in manu scriptis post *πασσυδίῃ* interponuntur, cum Orellio expunxi || 24. *δὴ* C: *δὲ M* || 26. *πρώτων* H: *πρῶτον M* ||

16 Ὁ δ᾽ οὖν ἄλλος τρόπος βοηθείας βελτίων ἂν εἴη
2 ἐπὶ τοὺς ἐμβεβληκότας. πρῶτον μὲν οὖν οὐ χρὴ εὐθὺς
βοηθεῖν, εἰδότα ὅτι ἀτακτότατοι ἂν εἶεν οἱ ἄνθρωποι,
τῶν μὲν ἐπειγομένων τὰ οἰκεῖα σῴζειν ὡς τάχιστα ἐκ
τῶν ἀγρῶν, ἑτέρων δὲ πεφοβημένων εἰς τοὺς κινδύνους 5
3 προϊέναι, ἄλλων δὲ πάμπαν ἀπαρασκεύων ὄντων. χρὴ
οὖν τὴν μὲν βοήθειαν εὐτρεπίζειν ἀθροίζοντα ὅτι τάχος,
ἅμα τῶν μὲν τὸ δεῖμα ἀφαιροῦντα, τοῖς δὲ θάρσος ἐμ-
4 ποιοῦντα, τοὺς δὲ ὁπλίζοντα. δεῖ γάρ σε εἰδέναι ὅτι
τῶν πολεμίων οἱ μετὰ συνέσεως καὶ ἐπιστήμης γιγνόμε- 10
νοι ἐν πολεμίᾳ, κατ᾽ ἀρχὰς μὲν τὸ ἰσχυρότατον αὑτῶν
ἐν τάξει ἄγουσι προσδεχόμενοι τινὰς ἐφ᾽ ἑαυτοὺς ἰόντας
καὶ ἑτοίμως ἔχοντας ἀμύνεσθαι· τινὲς δὲ διασπαρέντες
αὐτῶν τὰ κατὰ τὴν χώραν ἀδικοῦσιν, ἄλλοι δ᾽ ἂν ἐνε-
δρεύοιεν προσδεχόμενοί τινας βοηθοῦντας ὑμῶν ἄτακτον 15
5 βοήθειαν. δεῖ οὖν μὴ εὐθὺς αὐτοῖς προσκείμενον ἐνοχλεῖν,
ἀλλ᾽ ἐᾶσαι αὐτοὺς πρότερον θαρρῆσαι καὶ καταφρονή-
σαντάς σου ἐπὶ λεηλάτησιν καὶ πλεονεξίαν ὁρμῆσαι· ἅμα
δ᾽ ἂν οὗτοι σιτίων καὶ πόσεως πληρούμενοι ἀμελεῖς καὶ
6 ἀπειθεῖς τοῖς ἄρχουσι γίγνοιντο. ἐκ δὲ τούτων εἰκὸς 20
μοχθηροὺς αὐτῶν τοὺς ἀγῶνας καὶ χαλεπὴν τὴν ἀποχώ-
ρησιν συμβαίνειν, ἐάνπερ γε σὺ αὐτοῖς εὐκαίρως ἐπιθῇ.
7 ἡτοιμασμένης γάρ σοι τῆς βοηθείας εἰς τὸν παρηγγελ-
μένον τόπον καὶ ἐσπαρμένων ἤδη τῶν πολεμίων πρὸς
ἁρπαγήν, οὕτω χρὴ αὐτοῖς προσκεῖσθαι τοῖς μὲν ἵπ- 25

---

1. Exspectabas *εἴη δ᾽ ἂν ἄλλος τρόπος βοηθείας ἐπὶ τοὺς ἐμβεβληκότας τοιόσδε* omisso *οὖν* quod post *μὲν* legitur || 2. Post *ἐμβεβληκότας* vide ne exciderit *πολεμίους* | *εὐθὺ M* || 3. Post *ἀτακτότατοι ἂν* in *M* est *καὶ ἀπαράσκευοι πρὸ τῆς ἔω* || 6. Post *προϊέναι* in *M* est *οἱ δ᾽* (*οἷα* C) *εἰκὸς προσφάτως ἀγγελμένων* (*ἠγγελμένων* idem) || 8. *ἐμποιοῦντα* C: *ἐμποιοῦντας M* || 9. *ὁπλίζοντα* C: *ὁπλίζοντας M* || 10. *ξυνέσεως M* | *γινόμενοι M* || 11. *πολεμίᾳ* C: *πόλει μιᾷ M* || 12. Inserui *ἰόντας* || 13. *ἔχοντες M* || 15. *ὑμῶν* C: *ἡμῶν M* || 16. *βοήθειαν* H: *βοήθησιν M* | *αὐτοῖς* Meierus: *αὐτοὺς M* || 17. *αὐτοὺς*] *τούτους M* || 19. *οὗτοι*] Deletum malim | *πληρούμενοι* Meinekius: *πληρούμενοι καὶ οἰνωθέντες M* | *ἀμελεῖς* C: *ἀμελλεῖς M* || 20. *γίνοιντο M* || 21. Inserui *χαλεπήν* || 22. *ἐπιθῇ* H: *ἐπιθήσῃ M* ||

πεῦσι προκαταλαμβάνοντα τὰς ἀποχωρήσεις, τοῖς δ' ἐπιλέκτοις ἐνέδρας ποιούμενον, τοῖς δ' ἄλλοις κούφοις ἐπιφαινόμενον αὐτοῖς, τοὺς δ' ὁπλίτας ἀθρόους ἐν τάξει ἄγοντα, μὴ πόρρω δὲ τῶν προπεμφθέντων μερῶν. ἐπι-
5 τίθεσο δὲ τοῖς πολεμίοις ἐν οἷς ἄκων μὲν μὴ μαχεῖ, μαχόμενος δὲ μὴ ἔλασσον ἕξεις τῶν πολεμίων. διὰ οὖν τὰ 8
προγεγραμμένα λυσιτελεῖ πρότερον ἐφεῖναι καὶ ἐᾶσαι τοὺς πολεμίους ὡς πλείστην κατασῦραι τῆς χώρας, ἵνα λεη-
λατοῦντες καὶ πεπληρωμένοι λαφύρων ῥᾳδίως σοι τὴν
10 δίκην δῶσι· τά τε γὰρ ληφθέντα πάντα σῴζοιο ἄν, οἵ τ' ἀδικήσαντες κατ' ἀξίαν λάβοιεν τὰ ἐπιτίμια. ὀξέως 9
δ' ἂν βοηθήσας τοῖς μὲν σαυτοῦ ἀπαρασκεύοις τε καὶ οὐ τεταγμένοις κινδυνεύοις, οἱ δὲ πολέμιοι μικρὰ μὲν ἂν φθάσειαν κακουργήσαντες, ἐν τάξει δ' ἂν ἔτι ὄντες
15 ἀτιμώρητοι ἂν ἀπέλθοιεν. πολὺ δὲ κρεῖσσον, ὡς προ- 10
γέγραπται, ἐνδόντα ἀφυλάκτως διακειμένοις αὐτοῖς ἐπιθέσθαι. ἐὰν δέ σε λάθῃ ἢ φθάσῃ τὰ ἐκ τῆς χώρας 11
λεηλατηθέντα, οὐ χρὴ τὴν δίωξιν αὐτῶν ποιεῖσθαι κατὰ τὰς αὐτὰς ὁδοὺς καὶ τοὺς αὐτοὺς χώρους, ἀλλὰ τῇδε
20 μὲν ὀλίγους ἐπιφαίνεσθαι καὶ διώκοντας μὴ ἐπικαταλαμβάνειν, ἄλλο δὲ πλῆθος μετὰ ἀξιόχρεω δυνάμεως σπεύδειν κατ' ἄλλας ὁδοὺς ὅτι τάχιστα πορευόμενον, καὶ φθάσαν ἐν τῇ τῶν ἀγόντων χώρᾳ περὶ τὰ ὄρια ἐνε-
δρεῦσαι (φθάσαι δέ σε εἰκός ἐστιν εἰς τὴν ἐκείνων ἀφι- 12
25 κόμενον, διὰ τὸ λείαν ἄγοντας αὐτοὺς βραδυτέρως πορεύεσθαι), τὴν δ' ἐπίθεσιν αὐτοῖς ποιεῖσθαι δειπνοποιουμένοις· οἱ γὰρ λεηλατήσαντες, ὡς ἔν τε τῇ αὐτῶν ἤδη

---

2. *κούφοις* C: *κούφως M* || 4. *ἄγοντα* C: *ἄγοντας M* | *προπεμφθέντων* C: *προοφθέντων M* || 5. *μὴ* adiecit C | *μαχεῖ* H: *μαχήσῃ M* || 7. *προγεγραμμένα*] *πρότερα εἰρημένα M* | *πρότερον*] *ποτὲ M* || 8. *ἵνα*] *ἵνα ἢ M* || 9. *διαπεπληρωμένοι M* || 10. *δῶσι* T: *δώσουσιν M* | *σώζοιο ἄν*] *σώζοιντο M* || 13. *οὐ* adiecit C | *δὲ*] *τε M* || 14. *φθάσαιεν M* || 15. *προγέγραπται*] *γέγραπται M* || 18. *κατὰ* inseruit Meinekius || 19. *τῇδε* C: *τῇσδε M* || 20. Post *καὶ διώκοντας μὴ ἐπικαταλαμβάνειν* in *M* est *ἑκουσίως καὶ ἀνυπόπτως* || 21. *ἀξιόχρεω* H: *ἀξιοχρέου M* || 23. *φθάσαν* COrellius: *φθάσαντος M* || 24. Post *εἰκός ἐστι* in *M* est *πρότερον* || 25. *λείαν* C: *λίαν M* || 27. *ὡς* inseruerunt T ||

γεγονότες καὶ ἐν ἀσφαλεῖ ὄντες, πρὸς ῥᾳθυμίαν τρεπό-
13 μενοι ἀφυλακτοτέρως ἂν διακέοιντο. ἄριστον δ', ἵνα
νεοκμῆσιν τοῖς στρατιώταις χρήσῃ, ὑπαρχόντων γε πλοίων,
κατὰ θάλατταν τὴν δίωξιν ποιεῖσθαι· τό τε γὰρ φθάσαι
καὶ τὰ ἄλλα εἰς τὸ δέον σοι συμβήσεται, ἐὰν μὴ κα-
14 τοφθῇς πλέων ὑπ' αὐτῶν. Κυρηναίους δὲ καὶ Βαρκαίους
λέγεται τὰς μακρὰς βοηθείας κατὰ τὰς ἁμαξηλάτους τε
ὁδοὺς καὶ ἐπὶ συνωρίδων καὶ ζευγῶν βοηθεῖν. κομισθέν-
των δὲ εἰς τὸ προσῆκον καὶ ἑξῆς τῶν ζευγῶν παρα-
ταχθέντων, ἀποβάντες οἱ ὁπλῖται καὶ ἐν τάξει γενό-
μενοι, εὐθὺς νεοκμῆτες προσφέροιντ' ἂν τοῖς πολεμίοις.
15 εἶεν δὲ ἂν αἱ ἅμαξαι καὶ ἔρυμα ταῖς στρατοπεδείαις,
οἵ τε τραυματίαι καὶ εἴ τι ἄλλο γένοιτο σύμπτωμα τοῖς
στρατιώταις, ἐπὶ τούτων ἀπάγοιντ' ἂν εἰς τὴν πόλιν.
16 καὶ ἐὰν μὲν ᾖ ἡ χώρα μὴ εὐείσβολος, ἀλλ' ὀλίγαι ὦσιν
αἱ εἰσβολαὶ καὶ στεναί, προκατασκευάσαντα αὐτάς, ὡς
προγέγραπται, σὺν τοῖς μέρεσιν ἰόντα ἐπὶ τὰς εἰσβολὰς
ἐναντιοῦσθαι τοῖς ἐπιχειροῦσι καὶ βουλομένοις πρὸς τὴν
πόλιν προσιέναι, προσδιαταξάμενον καὶ τοὺς φρυκτοῖς
γνωριοῦντας τὰ ἀλλήλων πάθη, ὅπως τὰ μέρη βοηθῇ, ἄν'
17 τι δέωνται ἀλλήλων. ἂν δὲ μὴ δυσείσβολος ᾖ ἡ χώρα,
ὥστε ἤδη πολλαχῇ πολλοὺς εἰσβάλλειν, χρή τινας κατα-
λαβεῖν τῆς χώρας τόπους, ὥστε τοῖς πολεμίοις χαλεπὴν
18 εἶναι τὴν πάροδον ἐπὶ τὴν πόλιν. ἂν δὲ μὴ ὑπάρχωσι
τοιοίδε τόποι, καταλαβεῖν ἐγγὺς τῆς πόλεως χωρία σύμ-

---

2. ἀφυλακτοτέρως C: ἀφυκτοτέρως *M* | δ' addidit C || 3. νεοκμῆσιν C: νεοσμησιν *M* | γε C: δὲ *M* || 6. Κυρηναίους C: κρηναίους *M* | δὲ addidi || 7. Post λέγεται in *M* est καὶ ἄλλας τινὰς πόλεις | τὰς – ὁδούς] τὰς ἁμαξηλάτους τε ὁδοὺς καὶ μακρᾶς βοηθείας *M* || 9. ζευγέων *M* || 11. προσφέροιντ' ἄν] προσεφέροντο *M* | Post τοῖς πολεμίοις in *M* est οἷς οὖν εὐπορία ζευγῶν καλὸν τὸ πλεονέκτημα ταχύ τε καὶ νεοκμητας (sic) τοὺς στρατιώτας εἰς τὸ δέον ἐλθεῖν || 12. εἴησαν *M* | αἱ ἅμαξαι] αἱ ἅμαξαι εὐθὺς *M* || 13. τε addidit C, nisi fallor || 14. τούτων T: τούτοις *M* || 16. αὐτάς COrellius: αὐτὰ *M* || 17. σὺν τοῖς – εἰσβολὰς] οὕτω μεριοθέντα ἐπὶ τῆς εἰσβολῆς *M* || 19. προσδιαταξάμενον καὶ τοὺς φρυκτοῖς γνωριοῦντας] προσδιαταξαμένους καὶ φρυκτοῖς γνωρίζοντας *M* || 22. ὥστε addiderunt T | τινας] ὑμᾶς *M* || 24. μὴ ὑπάρχωσι τοιοίδε τόποι] μηδὲ ταῦτα ὑπάρχῃ τῶν λοιπῶν *M* ||

μαχά τε πρὸς τὸ μάχεσθαι πλεονεκτικῶς καὶ εὐαπαλλάκτως ἔχοντα, ὅταν βούλῃ ἀπιέναι πρὸς τὴν πόλιν, καὶ οὕτως ἄρχειν τῆς μάχης ἐκ τῶν χωρίων τούτων ὁρμώμενον. τὰς 19
δ' ἐπιθέσεις αὐτοῖς ποιεῖσθαι ἀεὶ πλεονεκτοῦντα τῆς
5 χώρας τῇ συνηθείᾳ· πολὺ γὰρ προέξεις προειδὼς τὰ χωρία καὶ προάγων εἰς τόπους εἰς οὓς ἂν σὺ βούλῃ, σοὶ μὲν γνωστοὺς καὶ ἐπιτηδείους καὶ φυλάξασθαι καὶ διῶξαι καὶ φυγεῖν καὶ ἀπιέναι εἰς τὴν πόλιν λαθραίως καὶ φανερῶς, τοῖς δὲ πολεμίοις ἀσυνήθεις καὶ ἀγνῶτας
10 καὶ λελειμμένους πάντων τούτων. εἰδέναι γὰρ ὅτι ἄπει- 20
ρον ὄντα τῆς χώρας οὐ μόνον ἀδύνατον πρᾶξαί τι ὧν θέλεις, ἀλλὰ καὶ σωθῆναι χαλεπόν, τῶν γε ἐν τῇ χώρᾳ βουλομένων ἐπιχειρεῖν. πρὸς πάντα ἂν οὖν ἀτόλμως καὶ δειλῶς διακείμενοι σφάλλοιντο· διενέγκοι γὰρ ἂν
15 τοσοῦτον ἑκατέροις, ὅσον εἰ τοῖς μὲν νυκτὸς γένοιτο ἡ μάχη τοῖς δὲ ἡμέρας, εἰ οἷόν τέ πως ἦν ταῦτα ἅμα γενέσθαι. ὑπάρχοντος δέ σοι ναυτικοῦ, πεπληρῶσθαι τὰς 21
ναῦς· οὐ γὰρ ἐλάσσω τοὺς πολεμίους ὀχλήσουσιν οἱ ἐν ταῖς ναυσίν, ἐάν γε παραπλεῖν ὑπάρχῃ πρὸς τὰ ἐπιθα-
20 λάσσια χωρία καὶ τὰς παρὰ θάλασσαν ὁδούς. ταῦτα δὲ 22
οὕτως πράττων ἀπαρασκευοτάτοις ἂν τοῖς πολεμίοις ἐπιθεῖο, καὶ παρὰ δόξαν τὰ ἀφ' ὑμῶν αὐτοῖς ἀποβαίη.

---

1. Addidi τε | μάχεσθαι] μάχεσθαί τι *M* || 2. ἔχοντα Meierus: ἔχων τὸ χωρίον *M* | βούλῃ H: βούλει *M* | καὶ οὕτως ἐμβαλόντες οἱ πολέμιοι εἰς τὴν χώραν πρὸς τὴν πόλιν πορεύονται καὶ ἄρχειν ὑμᾶς τῆς μάχης *M* || 3. ὁρμωμένους *M* || 4. τῆς χώρας τῇ συνηθείᾳ COrellius: ἐκ τῆς χώρας τῇ συνηθείᾳ *M* || 5. προέξεις T: προήξεις *M* || 6. εἰς οὓς] οἵους *M* || 7. σοὶ μὲν γνωστοὺς καὶ ἐπιτηδείους καὶ φυλάξασθαι καὶ διῶξαι καὶ φυγεῖν καὶ ἀπιέναι εἰς τὴν πόλιν λαθραίως καὶ φανερῶς ἔτι δὲ καὶ τὰ ἐπιτήδεια προειδότα ὅπου ἂν τῆς χώρας ὑπάρχῃ ὑμῖν τοῖς δὲ πολεμίοις συνήθεις (ἀσυνήθεις C) καὶ ἀγνῶτας καὶ λελειμμένους πάντων τούτων εἰδότας ὅτι ἄπειρον ὄντα *M* || 12. θέλει *M* || 13. πάντα ἂν οὖν] πάντα ἢ *M* || 14. Post σφάλλοιντο in *M* est διότι μηδὲν τῶν τοιούτων εἰκάζειν || 15. τοσοῦτον ἑκατέροις] τοῖς ἑτέροις *M* | νυκτὸς γένοιτο ἡ μάχη] νυκτὸς ἦχη *M* || 16. οἷόν τέ πως C: οἷόν τε πῶς *M* || 18. ἦν ταῦτα: ἢ τοῦτο *M* || 19. ἐάν γε T: ἐάν τε *M* | παραπλέων *M* || 20. Post ὁδοὺς *M* habet ἵν' ὑπὸ ἡμῶν (ὑμῶν C) τε ὀχλῶνται καὶ ὑπὸ τῶν νηῶν κατὰ νώτου αὐτοῖς τὴν ἀπόβασιν ποιουμένων || 21. ἀπαρασκευοτάτοις L. Dindorfius: ἀπαρασκευαστοτάτοις *M* | ἐπιθεῖο] ἐπιθεῖσθε *M* ||

17 Ἐν δὲ μὴ ὁμονοούσῃ πόλει καὶ ὑπόπτως πρὸς ἀλλήλους ἐχόντων χρὴ προνοοῦντα εὐλαβεῖσθαι τὰς μετ' ὄχλου ἐξόδους ἐπὶ θεωρίαν λαμπάδος καὶ ἱπποδρομίας καὶ τῶν ἄλλων ἀγώνων, ὅσαι τε ἱεροποιίαι πανδημεὶ ἐκτὸς τῆς πόλεως καὶ σὺν ὅπλοις πομπαὶ ἐκπέμπονται, ἔτι καὶ περὶ τὰς πανδήμους νεωλκίας καὶ τὰς συνεκφορὰς τῶν τελευτησάντων· ἔνι γὰρ καὶ ἐν τῷ τοιῷδε καιρῷ σφα-
2 λῆναι τοὺς ἑτέρους. παράδειγμα δὲ ἐξοίσω γενόμενον Ἀργείων πάθος. ἑορτῆς γὰρ πανδήμου ἔξω τῆς πόλεως γιγνομένης ἐξῆγον πομπὴν σὺν ὅπλοις τῶν ἐν τῇ ἡλικίᾳ, συχνοὶ δὲ τῶν ἐπιβουλευόντων καὶ αὐτοὶ παρεσκευάζοντο
3 καὶ αὐτοῖς συνείποντο ἔνοπλοι εἰς τὴν πομπήν. καὶ γενόμενοι πρὸς τῷ νεῷ τε καὶ τῷ βωμῷ οἱ μὲν πολλοὶ τὰ ὅπλα θέμενοι ἀπωτέρω τοῦ νεὼ πρὸς τὰς εὐχάς τε καὶ τὸν βωμὸν ὥρμησαν, τῶν δὲ ἐπιβουλευόντων οἱ μὲν ἐπὶ τῶν ὅπλων ὑπέμειναν, οἱ δὲ ταῖς ἀρχαῖς τε καὶ τῶν πολιτῶν τοῖς προέχουσι παρέστησαν ἐν ταῖς εὐχαῖς, ἀνὴρ
4 ἀνδρί, ἔχοντες ἐγχειρίδια. καὶ τοὺς μὲν κατεβεβλήκεσαν, οἱ δὲ αὐτῶν εἰς τὴν πόλιν σὺν τοῖς ὅπλοις ἔσπευσαν, ἕτεροι δὲ τῶν συνεπιβουλευόντων ὑπομείναντες ἐν τῇ πόλει μετὰ τῶν προαλισθέντων ὁπλιτῶν προκατέλαβον οὓς προσῆκε τόπους τῆς πόλεως, ὥστε δέξασθαι τῶν
5 ἔξω οὓς ἐβούλοντο. Χῖοι δὲ ἄγοντες τὰ Διονύσια καὶ πέμποντες πομπὰς λαμπρὰς πρὸς τοῦ Διονύσου τὸν βωμόν, προκαταλαμβάνουσι τὰς εἰς τὴν ἀγορὰν φερούσας
6 ὁδοὺς φυλακαῖς καὶ δυνάμεσι πολλαῖς. ἄριστον δὲ τὰς

---

1. ἐν C: ἐὰν *M* || 2. τὰς C: τοὺς *M* || 4. ὅσαι τε T: ὅσαι γε *M* || 6. νεωλκίας C: νεολκίας *M* || 7. Inserui τῷ || 8. γενόμενον ex γινομένης natum videtur || 9. Ἀργείων in *M* inter πόλεως et γενομένης legitur || 10. γιγνομένης Kirchhoffius: γενομένης *M* | ἐξῆγον C: ἐξείργων *M* || 11. συχνοὶ δὲ τῶν T: συχνῶν τῶν δὲ *M* | παρεσκευάζοντο Meierus: παρεσκεύαζον *M* || 12. συνείποντο ἔνοπλοι] συνηιτοῦντο ὅπλα *M* | καὶ γενόμενοι] καὶ ἐγένετο *M* || 13. ναῷ *M* || 14. ναοῦ *M* || 18. Malim ἔχοντες τὰ ἐγχειρίδια | κατεβεβλήκεσαν H: καταβεβλήκεισαν *M* || 21. προαλισθέντων G. Dindorfius: προσαλισθέντων *M* | ὁπλιτῶν Meinekius: ὅπλων *M* || 23. ἐβούλοντο C: ἐβουλεύοντο *M*. post hanc vocem in *M* est διὸ δὴ (διὸ δεῖ πρός C) τὰς τοιαύτας ἐπιβουλὰς ἐν οὐδένι καιρῷ ἀφυλάκτως διακεῖσθαι || 26. Post πολλαῖς in *M* est κώλυμα οὖν οὐ μικρὸν τοῖς βουλομένοις νεωτερίζειν ||

ἀρχὰς πρῶτον μετὰ τῆς προκειμένης δυνάμεως ἱεροποιῆσαι, τούτων δὲ ἐκ τοῦ ὄχλου ἀπαλλαγέντων, οὕτω τοὺς ἄλλους συνιέναι.

Ὅταν δὲ οἱ ἐκπορευθέντες παραγένωνται καὶ δείλη **18**
γίγνηται, σημαίνειν δειπνοποιεῖσθαι καὶ εἰς φυλακὴν ἰέναι. ἐν ᾧ δὲ οἱ φύλακες εὐτρεπίζονται, ἐν τούτῳ περὶ τῶν πυλῶν ἐπιμελητέον ὅπως καλῶς κλείωνται· περὶ γὰρ τὰς βαλάνους πολλὰ σφάλματα γίγνεται διὰ τὰς τῶν ἀρχόντων μαλακίας. ὅταν γὰρ ἐπὶ τὰς πύλας τις αὐτῶν 2
ἐλθὼν κλεῖσαι μὴ αὐτουργὸς γίγνηται, ἀλλὰ παραδοὺς τὴν βάλανον τῷ πυλωρῷ κλεῖσαι κελεύῃ, τάδε κακουργεῖται ὑπὸ πυλωρῶν βουλομένων νυκτὸς δέξασθαι τοὺς πολεμίους. ὃ 3
μέν τις ἡμέρας εἰς τὴν βαλανοδόκην τῶν πυλῶν ἄμμον προενέβαλεν, ὅπως ἡ βάλανος ἔξω μένῃ καὶ μὴ ἐμβάλληται εἰς τὸ τρύπημα. φασὶ δὲ καὶ ἐμβεβλημένας βαλάνους ὧδε ἐξαιρεθῆναι. ἐμβαλλομένης κατ' ὀλίγον ἄμ- 4
μου εἰς τὴν βαλανοδόκην σείεσθαι ἀψοφητί, ἵνα μηδεὶς αἴσθηται. μετέωρος οὖν ἡ βάλανος ἐγίγνετο ὑποπιπτούσης τῆς ψάμμου, ὥστε ῥᾳδίως αὐτὴν ἐξαιρεθῆναι. ἤδη 5
δὲ πυλωρὸς δεξάμενος τὴν βάλανον παρὰ τοῦ στρατηγοῦ ἐμβαλεῖν, ἐντεμὼν λάθρᾳ σμίλῃ ἢ ῥίνῃ τὴν βάλανον, βρόχον λίνου περιβαλὼν ἐνέβαλεν, εἶτα μετ' ὀλίγον τῷ λίνῳ ἀνέσπασεν. ἄλλος δὲ προετοιμάσας ἐν γυργάθῳ 6
λεπτῷ ἐνέβαλεν προσημμένου λίνου, καὶ ὕστερον ἀνέσπασεν. ἐξηρέθη δὲ καὶ ἀνακρουσθεῖσα ἡ βάλανος. ἔτι δὲ καὶ θερμαστρίῳ λεπτῷ ἐξηρέθη· χρὴ δὲ τοῦ θερμαστρίου τὸ μὲν ἓν μέρος εἶναι οἷον σωλῆνα, τὸ δὲ ἕτερον πλατύ, ὥστε τῷ μὲν σωληνοειδεῖ ὑπολαμβάνειν τὴν βά-

---

1. προκειμένης] προειρημένης *M* || 4. ἐκπορευθέντες Meinekius: εἰσπορευθέντες *M* || 5. γίνηται *M* | σημαίνειν C: σημαίνει *M* || 6. δὲ addidit C || 8. γίνεται *M* || 10. γίνηται *M* || 14. προενέβαλεν et ἔξω μένῃ καὶ μὴ C: προενέβαλλεν et ἐξομένη μὴ *M* || 17. σείεσθαι] An ἐσείετο ὁ μοχλός? || 18. ἐγίνετο *M* | ὑποπιπτούσης] προσπιπτούσης *M* || 19. Malim ἄμμου || 20. Addidi τοῦ || 22. ἐνέβαλεν T: ἔβαλεν *M* 26. θερμαστίῳ et mox θερμαστίου *M* ||

λανον, τῷ δὲ πλατεῖ ἐπιλαμβάνειν. ἕτερος δὲ ἔλαθε τρέψας τὸν μοχλὸν μέλλων ἐμβάλλειν, ἵνα μὴ κατέλθῃ εἰς τὸ τρύπημα ἡ βάλανος. περὶ Ἀχαΐαν δὲ ἐν πόλει Ἡραιέων ἐπιχειροῦντές τινες κρυφαίως δέξασθαι ξένους πρῶτον μὲν τῆς βαλάνου ἔλαβον τὰ μέτρα τρόπῳ τοιῷδε. προκαθέντες ἐν τῇ ἡμέρᾳ εἰς τὴν βαλανοδόκην λίνου λεπτοῦ καὶ ἰσχυροῦ βρόχον καὶ τὰς ἀρχὰς ἔξω ἐάσαντες ἀφανεῖς, ὡς ἐν τῇ νυκτὶ ἐνεβλήθη ἡ βάλανος, ἀνέσπασαν τοῦ λίνου τὸν βρόχον καὶ τὴν βάλανον, λαβόντες δὲ τὰ μέτρα αὐτῆς πάλιν καθῆκαν. ἔπειτα πρὸς τὰ μέτρα τῆς βαλάνου βαλανάγραν ἐποιήσαντο τρόπῳ τοιῷδε. ἐχαλκεύσαντο σίφωνά τε καὶ φορμορραφίδα. ἦν δὲ ὁ μὲν σίφων ἐργασθεὶς καθάπερ εἴωθε γίγνεσθαι· τῆς δὲ φορμορραφίδος τὸ μὲν ὀξὺ καὶ πολὺ μέρος εἰργάσαντο καθάπερ ταῖς ἄλλαις φορμορραφίσιν, ἡ δὲ λαβὴ ἦν κοίλη ὥσπερ στυρακίου ἢ * * στελέα ἐμβάλλεται. καὶ παρὰ μὲν τῷ χαλκεῖ ἐνεβλήθη στελεόν, ἀπενεχθείσης δὲ ἐξηρέθη, ὥστε πρὸς τὴν βάλανον προσαχθεῖσαν ἁρμόσαι. ἤδη δέ τινες ἐν τῇ βαλανοδόκῃ οὔσης τῆς βαλάνου τὸ περίμετρον ὧδε ἔλαβον. πηλὸν κεραμικὸν περιελίξαντες ὀθονίῳ λεπτῷ καθῆκαν, ἐρρωμένως πιέζοντες περὶ τὴν βάλανον τὸν πηλόν· ἔπειτα ἀνέσπασαν τὸν πηλὸν καὶ ἔλαβον τὸν τύπον τῆς βαλάνου, πρὸς ὃν τὴν βαλανάγραν ἐποιήσαντο. συμβάλλεται γίνεσθαι Τημένῳ Ῥοδίῳ ἐν Ἰωνίᾳ Τέως πόλις εὐμεγέθης προειδότος ὑπὸ τοῦ πυλωροῦ. ἄλλα τε

1. πλατεῖ C inseruit. aut ita scribendum erat aut delendum σωληνοειδεῖ || 3. Post ἡ βάλανος in *M* est καὶ ὕστερον ἐωσθεῖσα ἀνοιχθῇ | Ἡραιέων et τινες inseruit C || 7. ἐάσαντες] οὔσας *M* || 8. ἀνέσπασαν COrellius: ἀνέσπασεν *M*. post hanc vocem in *M* est τὰς ἀρχὰς || 9. Addidi τά | Post μέτρα in *M* est οὕτω || 12. φορμορραφίδα L. Dindorfius: φορμοροφίδα *M* || 13. γίνεσθαι *M* | δὲ T: τε *M* | φορμορραφίδος et φορμορραφίσιν Dindorfius: φορμοραφίδος et φορμοραφίσιν *M* || 14. εἰργάσαντο C: εἰργάσατο *M* || 17. ἀπενεχθέντος *M* || 18. Post ἁρμόσαι in *M* est προνοητικῶς δὴ δοκεῖ ποιηθῆναι πρός τε τὸν χαλκέα μηδὲν ὑποπτεῦσαι ὅ τε σίφων οὗ ἕνεκα ἐργασθεὶς εἴη καὶ ἡ φορμοραφὶς καὶ τὰ ἅρμενα γίνεσθαι || 19. τῆς adieci || 20. κεραμικὸν C: κεραμεικὸν *M* || 21. ἐρρωμένως] ἁρμένω *M* | πιέζοντες H: πιεζοῦντες *M* || 24. Τημένῳ Casaubonus: τῇ μένω *M* ||

οὖν προσυνέθεντο καὶ νύκτα ἀσέληνον καὶ σκοτεινήν, ἐν
ᾗ ἔδει τὸν μὲν ἀνοῖξαι, τὸν δὲ μετὰ ξένων εἰσελθεῖν. ἐπεὶ 14
δὲ εἰς τὴν ἐπιοῦσαν νύκτα πραχθῆναι παρῆν τῷ πυλωρῷ
ἀνὴρ ὅστις ἐπεὶ ὀψὲ ἦν καὶ φυλακαί τε ἐπὶ τοῦ τείχους
καθίσταντο καὶ αἱ πύλαι ἔμελλον κλείεσθαι σκότους
οὖν ἤδη ὄντος ἀπηλλάσσετο, ἐκδήσας ἀρχὴν ἀγαθίδος
λίνου κλωστοῦ, ὅπερ οὐκ ἔμελλε ῥαδίως διαρραγῆναι.
τὴν δὲ ἀγαθίδα ἐπορεύθη ἀπιλάσσων ἀπὸ τῆς πόλεως 15
πέντε στάδια, ὅποι ἔμελλον οἱ εἰσπορευόμενοι ἥξειν.
ἐπεὶ δὲ παρῆν ὁ στρατηγὸς κλεῖσαι τὰς πύλας, καὶ 16
ἔδωκε κατὰ τὸ ἔθος τῷ πυλωρῷ ἐμβαλεῖν τὴν βάλανον,
δεξάμενος ἐνέτεμεν λαθραίως ῥίνῃ ἢ σμίλῃ τὴν βάλανον,
ὥστε ἐνέχεσθαι λίνον· εἶτα βρόχον περιθεὶς καθῆκε τὴν
βάλανον ἐχομένην ὑπὸ τοῦ λίνου, μετὰ δὲ ταῦτα κινήσας
τὸν μοχλὸν καὶ ἐπιδείξας τῷ στρατηγῷ κεκλειμένην τὴν
πύλην εἶχεν ἡσυχίαν. χρόνου δὲ προϊόντος ἀνασπάσας 17
τὴν βάλανον, τὴν ἀρχὴν τοῦ σπάρτου πρὸς αὑτὸν ἔδησε
τοῦδε ἕνεκα, ἵν', εἰ καθυπνώσας τύχοι, ἐγερθείη σπώμε-
νος ὑπὸ τοῦ λίνου. ὁ δὲ Τήμενος παρῆν διεσκευασμένος 18
μεθ' ὧν ἔμελλεν εἰσπορεύεσθαι εἰς χωρίον ῥητὸν πρὸς
τὸν τὴν ἀγαθίδα ἔχοντα. ἦν δὲ προσυγκείμενον τῷ Τη-
μένῳ πρὸς τὸν πυλωρὸν ἐλθὼν εἰς τὸν χῶρον σπᾶν τὸ
σπάρτον. καὶ εἰ μὲν ἦν ἕτοιμα τῷ πυλωρῷ ἅπερ ἤθελε, 19
προσεπιδῆσαι πρὸς τὴν ἀρχὴν τοῦ λίνου μαλλὸν ἐρίου
καὶ ἀφεῖναι, ὅπερ ἰδὼν ὁ Τήμενος ἔμελλε σπεύδειν πρὸς
τὰς πύλας· εἰ δ' ἀπετύγχανεν ὁ πυλωρὸς τοῦ θελήμα-
τος, οὐδὲν προσάψας ἀφῆκε τὸ λίνον, ὥστε τὸν Τήμε-
νον ἐκ πολλοῦ φθάσαι τε καὶ λαθεῖν ἀπαλλαγέντα.
ἠσθάνοντο οὖν ἐν τῇ νυκτὶ τὸ σπάρτον ὑπάρχον ἐν τῇ

---

4. *τείχους* H: *τείχεος M* || 6. *ἀγαθίδος* C: *ἀκανθίδος M* || 8. *ἀγαθίδα* C: *ἀκανθίδα M* | *ἀπελίσσων* H, *ἀνελίσσων* C, *ἀπειλίσσων* Orellius | 9. *ὅποι* H: *ὅπη M* || 12. Post *λαθραίως* in *M* est *ἀψοφητὶ* || 15. *κεκλείμενην M* || 18. *ἕνεκα ἵν'*] *ἕνεκεν ὅτι M* | *τύχοι* L. Dindorfius: *τύχῃ M* || 21. *ἀγαθίδα* C: *ἀκανθίδα M* || 22. *τὸ σπάρτον* T: *τὸν σπάρτον M* || 24. *προσεπιδῆσαι* C: *προσπηδῆσαι M* || 27. *οὐδὲν* C: *οὐθὲν M* | *τὸ* H: *τὸν M* || 28. *ἀπαλλαγέντα* C: *ἀπαλλαγέντας M* ||

πόλει οὐχ οἷόν τε ἦν προϊέναι. τρόπον δὲ καὶ τόνδε προεδόθη πόλις ὑπὸ πυλωροῦ. σύνηθες ἐποιήσατο, ἐπεὶ μέλλοιεν αἱ πύλαι κλείεσθαι, ὑδρεῖον ἔχων ἐξιέναι ὡς ἐφ᾽ ὕδωρ. ἀφικνούμενος δὲ ἐπὶ τὴν κρήνην, λίθους ἐτίθει εἰς τόπον γνωστὸν τοῖς πολεμίοις, ἐφ᾽ ὃν φοιτῶντες εὕρισκον διὰ τῶν τιθεμένων λίθων ἅπερ θέλοι δηλοῦν ὁ τῆς πόλεως φύλαξ. εἰ μὲν γὰρ πρώτην φυλάσσοι, ἕνα λίθον ἐτίθει εἰς τὸν συγκείμενον τόπον, εἰ δὲ δευτέραν, δύο, εἰ δὲ τρίτην, τρεῖς, εἰ δὲ τετάρτην, τέτταρας, ἔτι δὲ καὶ ᾗ τοῦ τείχους καὶ κατὰ τί τῶν φυλακείων λελόγχοι. τούτῳ οὖν τῷ τρόπῳ σημαίνων ἐνέδωκε.

* * πράσσοντα δέ τι τοιοῦτον τὸν μοχλὸν ἀφανίζειν· ἤδη γάρ τινες ἐπιφανέντες ὑπεναντίοι ἐβιάσαντο πάλιν κλεῖσαι, τοῦ μοχλοῦ παρόντος.

* * διαπρίοντα δὲ τὸν μοχλὸν ἔλαιον ἐπιχεῖν· θᾶσσον γὰρ καὶ ἀψοφητὶ μᾶλλον πρισθήσεται. ἐὰν δὲ καὶ σπόγγος ἐπί τε τὸν πρίονα καὶ τὸν μοχλὸν ἐπιδεθῇ, πολλῷ κωφότερος ὁ ψόφος ἔσται. πολλὰ δ᾽ ἄν τις καὶ ἄλλα ὁμότροπα τούτοις γράψειεν, ἀλλὰ ταῦτα μὲν παρετέον.

Εἰς δὲ τὸ τούτων μηδὲν κακουργεῖσθαι χρὴ πρῶτον μὲν τὸν στρατηγὸν μὴ δεδειπνηκότα δι᾽ αὐτοῦ τὴν κλεῖσιν ποιεῖσθαι, μηδὲ ἄλλῳ πιστεύειν ῥᾳθύμως διακείμενον· ἐν δὲ τοῖς ἐπικινδύνοις καὶ πάμπαν σύννουν δεῖ περὶ ταύτην εἶναι. ἔπειτα τὸν μοχλὸν σεσιδηρῶσθαι τριχῇ ἢ τετραχῇ· ἄπριστος γὰρ ἔσται. ἔπειτα βαλάνους ἐμβάλλεσθαι τρεῖς μὴ ὁμοτρόπους, τούτων δὲ ἑκάστην

---

1. καὶ C: κατὰ *M* || 3. ὑδρίον *M* | ἐξιέναι C: εἰσιέναι *M* || 4. κρήνην C: κλίνην *M* || 5. ὃν H: οὗ *M* || 7. πρώτην φυλάσσοι ἕνα λίθον T: πρώτην φυλάσσοιεν ἀνθ᾽ ὧν *M* || 8. εἰς] πρὸς *M* || 9. τρεῖς C: τρίτης *M* || 10. φυλακείων Kirchhoffius: φυλακων *M* || 11. τούτῳ T: τούτω δ᾽ *M* | Post ἐνέδωκε in *M* est ταῦτα δεῖ οὖν συμβαλλόμενον πάντα φυλάττεσθαι καὶ τὰς πύλας αὐτὸν τὸν ἄρχοντα κλείειν καὶ μὴ ἄλλῳ διδόναι τὴν βάλανον || 14. Post παρόντος in *M* est διὸ δεῖ πάντα τὰ τοιαῦτα προνοεῖν || 15. τὸν adieci. feci asteriscos || 18. κωφότερος ὁ ψόφος Hauptius: κουφότερος ὁ μοχλός *M* || 19. γράψαι *M* || 21. Adieci τόν | Post κλεῖσιν in *M* est καὶ τὴν ἐπιμέλειαν || 23. Inserui τοῖς || 24. Post σεσιδηρῶσθαι in *M* est διὰ μηκους || 26. τούτων δὲ ἕκαστον φυλάττειν ἄνδρα τῶν στρατηγῶν εἰ δὲ πλείονες εἶησαν *M* ||

φυλάττειν ἄρα τὸν στρατηγόν· εἰ δὲ πλείονες εἶεν, πάλῳ καθ' ἡμέραν τὸν λαχόντα. ἄριστον δὲ τὴν βάλανον μὴ 3
ἐξαιρετὴν εἶναι, ὑπὸ δὲ λοπίδος σιδηρᾶς κατέχεσθαι, ἵνα μὴ πλέον ἐξαιρομένη μετεωρίζηται τῷ καρκίνῳ ἢ
ὥστε μοχλῷ ὑποθεῖσθαι κλειομένων τῶν πυλῶν καὶ ἀνοιγομένων. τὸν δὲ καρκίνον ἐσκευάσθαι, ὅπως ὑπὸ τὴν λοπίδα κάθηται καὶ ῥᾳδίως τὴν βάλανον μετεωρίζῃ. Ἀπολλωνιᾶται δὲ οἱ ἐν τῷ Πόντῳ παθόντες τι τῶν 4
προγεγραμμένων κατεσκεύασαν τὰς πύλας κλείεσθαι ὑπὸ σφύρας τε μεγάλης καὶ κτύπου παμμεγέθους γιγνομένου, ὡς σχεδὸν κατὰ πᾶσαν τὴν πόλιν ἀκούεσθαι ὅταν κλείωνται ἢ ἀνοίγωνται αἱ πύλαι· οὕτω μεγάλα τε καὶ σεσιδηρωμένα τὰ κλεῖθρα. τὸ δὲ αὐτὸ καὶ ἐν Αἰγίνῃ. ὅταν 5
δὲ αἱ πύλαι κλεισθῶσι, τοῖς φύλαξι σύνθημα καὶ παρασύνθημα δόντα ἐπὶ τὰ φυλακεῖα διαπέμψαι.

Περὶ δὲ ἁρμένων ἑτοιμασίας καὶ ὅσα χρὴ περὶ **21**
χώραν φιλίαν προκατασκευάζειν, ὧδε μέν μοι παραλείπεται, ἐν δὲ τῷ Παρασκευαστικῷ περὶ αὐτῶν τελέως δεδήλωται. περὶ δὲ φυλάκων καταστάσεως καὶ 2
περιοδειῶν καὶ πανείων καὶ συνθημάτων καὶ παρασυνθημάτων τὰ μὲν πολλὰ ἐν τῇ Στρατοπεδευτικῇ βίβλῳ γέγραπται, ὀλίγα δὲ αὐτῶν καὶ νῦν δηλώσομεν.

Νυκτοφυλακεῖν ἐν μὲν τοῖς κινδύνοις προσκαθη- **22**
μένων ἤδη ἐγγὺς τῶν πολεμίων πόλει ἢ στρατοπέδῳ ὧδε.
τὸν μὲν στρατηγὸν καὶ τοὺς μετ' αὐτοῦ τετάχθαι περὶ τὰ 2

---

2. *τοὺς λαχόντας M* | *τὰς βαλάνους μὴ ἐξαιρετὰς M* || 3. *λεπίδος* C || 5. *ἐπικλειομένων M* || 6. *ἐσκολιῶσθαι?* || 7. *λεπίδα* C | *καθῆται* nescio quis || 13. *τὰ*] *πάντα M* | Deest *γίγνεται* || 15. *δόντα* H: *δόντας M* | *φυλάκια M* || 16. *χρὴ* addidi || 17. Post *προκατασκευάζειν* in *M* est *ἢ τὰ ἐν τῇ χώρᾳ ὡς δεῖ ἀφανίζειν ἢ ἀχρεῖα ποιεῖν τοῖς ἐναντίοις* | Adieci *μέν* || 18. *αὐτῶν*] *τούτων M* || 19. *τελέως δεδήλωται*] *τελείως δηλοῦται M* || 20. *περιοδειῶν* H: *περιοδιῶν M* || 22. *γέγραπται*] *γραπτέον M.* post hanc vocem in *M* est *ὃν τρόπον δεῖ γενέσθαι* | *αὐτῶν*] Aut delenda haec vox aut ante eam inserendum *περί* || 23. *νυκτοφυλακεῖσθαι M* | *κινδύνοις*] *κινδύνοις καὶ M* | *προσκαθημένων* Meierus: *προκαθημένων M* || 24. *τῶν* adieci | *ὧδε* addidit Meierus || 25. Post *τὸν μὲν στρατηγὸν* in *M* est *τὸν τοῦ ὅλου ἡγεμόνα* | *τετάχθαι περὶ τὰ ἀρχεῖα*] *τετάχθαι καὶ τὰ περὶ ἀρχεῖα M* ||

ἀρχεῖα καὶ τὴν ἀγοράν, ἐὰν ὀχυρότητος μετέχῃ· εἰ δὲ μή,
προκατειληφέναι τόπον τῆς πόλεως ἐρυμνότατόν τε καὶ
3 ἐπὶ πλεῖστον τῆς πόλεως ὁρώμενον. περὶ δὲ τὸ στρατή-
γιον σκηνοῦν καὶ διατελεῖν ἀεὶ τὸν σαλπικτὴν καὶ τοὺς
δρομοκήρυκας, ἵν', ἐάν τι δέῃ σημῆναι ἢ παραγγεῖλαι,
ἐξ ἑτοίμου ὑπάρχωσι, καὶ οἵ τε ἄλλοι φύλακες τὸ μέλ-
λον αἴσθωνται καὶ οἱ περίοδοι, ὅπου ἂν ὄντες τύχωσι
4 κατὰ περιοδείαν τῆς πόλεως. ἔπειτα τούς τε ἐπὶ τῷ τεί-
χει φύλακας καὶ τοὺς ἐν τῇ ἀγορᾷ καὶ τοὺς ἐπὶ τῶν ἀρ-
χείων καὶ τῶν εἰς τὴν ἀγορὰν εἰσβολῶν καὶ τοῦ θεάτρου
καὶ τῶν ἄλλων κατεχομένων χωρίων διὰ βραχέων τε
5 φυλάσσειν καὶ ἅμα πολλούς. ἐν γὰρ τῷ δι' ὀλίγου φυ-
λάσσειν ἥκιστ' ἂν κατὰ μῆκος χρόνου δύναιτό τις πρᾶξαί
τι πρὸς τοὺς πολεμίους καὶ νεωτερίσαι φθάσας, ἧττόν
τ' ἂν ὕπνος ἐγγίγνοιτο διὰ βραχέος φυλασσόντων, τῷ τε
πολλοὺς ἅμα φυλάσσειν μᾶλλον ἂν δύναιτο ἐκφερομυ-
6 θεῖσθαί τι τῶν πρασσομένων· ἐὰν δὲ ὀλίγοι τε καὶ μα-
κρὰς φυλάσσωσιν, ὕπνος τ' ἂν ἐγγίγνοιτο διὰ τὸ μῆκος
τῶν φυλακῶν, καὶ εἴ τινές τι ἐγχειροῖεν νεωτερίσαι, παρέ-
χοι ἂν αὐτοῖς τοῦ χρόνου τὸ μῆκος καὶ φθάσαι καὶ λα-
7 θεῖν πράξαντάς τι πρὸς τοὺς πολεμίους. ἔτι δὲ χρὴ ἐν
τοῖς κινδύνοις καὶ τάδε προνοεῖν. τῶν φυλάκων μηδένα
προγιγνώσκειν μήτε ὅ τι πράξει μήτε ὅπου φυλάξει τῆς
πόλεως, μηδὲ τῶν αὐτῶν ἀεὶ τοὺς αὐτοὺς ἡγεῖσθαι, ἀλλ'
ὡς πυκνότατα πάντα μεθιστάναι τὰ περὶ τὴν πολιτοφυ-

---

3. ἐπὶ πλεῖστον ἀπ' αὐτοῦ τῆς πόλεως *M* || 4. σαλπιγκτὴν *M* || 6. οἵ τε C: εἴτε οἱ *M* || 7. ἂν Orellius: ἐὰν *M* || 8. περιοδείαν H: περιοδίαν *M* || 9. τοὺς ante ἐπὶ τῶν ἀρχείων addidi || 11. διὰ βραχέων τε φυλάσσειν καὶ ἅμα πολλούς] διὰ βραχέων τε φυλάσσειν καὶ πολλὰς εἶναι τὰς φυλακὰς καὶ ἅμα πολλοὺς ἀνθρώπους *M* || 13. ἥκιστ' ἂν] ὅτ' ἂν *M* || 15. ὕπνοι ἐγγίγνοιντο *M* | τῷ τε C: τότε *M* || 16. ἂν inseruerunt T || 17. Post πρασσομένων in *M* est ἐγρηγορέναι τε ὡς πλείστους ἄμεινον ἐν τοῖς κινδύνοις καὶ πάντα φυλάξαι ἐν τῇ νυκτὶ ἵν' ὡς πλεῖστοι καθ' ἑκάστην φυλακὴν προφυλάσσωσιν || 19. παρέχοι C: ὑπάρχοι *M* || 21. Post πολεμίους in *M* est διὸ δεῖ τὰ τοιαῦτα μὴ ἀγνοεῖν || 23. προγινώσκειν μήτε ὅπου στῆναι μήτε ὅπου φυλάξει τῆς πόλεως *M* || 24. μηδὲ Meinekius: μήτε *M* || 25. πάντα deletum malim ||

λακίαν· οὕτω γὰρ ἂν ἥκιστά τις δύναιτο τοῖς ἔξω προ-
διδοὺς δηλοῦν τι ἢ προσδέξασθαι παρὰ τῶν πολεμίων.
μὴ οὖν προειδέναι ὅπου τοῦ τείχους τὴν νύκτα ἔσονται 8
μηδὲ μεθ' ὧν, ἀλλ' ἀγνοεῖν τὸ μέλλον, καὶ τοὺς ἡμέ-
ρας φυλάξαντας μὴ φυλάσσειν νυκτός· οὐ γὰρ ἐπιτήδειον
προειδέναι ἃ μέλλει ἕκαστος πράσσειν. προφυλάσσοιέν 9
τ' ἂν ἐκ τῶν ἐπὶ τῷ τείχει φυλακείων οἱ προφύλακες
ὧδε. ἐξ ἑκάστου γὰρ φυλακείου καθ' ἑκάστην φυλακὴν
προφυλασσόντων εἷς ἀνὴρ ἐπὶ τὸ ἐχόμενον φυλακεῖον,
καὶ ἀπ' ἐκείνου ἄλλος ἐπὶ τὸ ἐχόμενον, καὶ ἀπὸ τῶν
ἄλλων ἄλλοι ἐπὶ τὰ ἄλλα· παρηγγέλθω δὲ ποιεῖν ἅπαν-
τας τοῦτο ἀπὸ συσσήμων. καὶ οὕτω πολλοί τε ἅμα περιο- 10
δεύσουσι καὶ μικρὸν ἕκαστος χωρίον κινηθήσεται, οὐδ'
ἀεὶ οἱ αὐτοὶ παρὰ τοῖς αὐτοῖς διατελοῦσι, πυκνὰ ἄλλων
προφυλάκων παρ' ἄλλοις γιγνομένων φύλαξι. τούτου δὲ
οὕτω πρασσομένου ἥκιστ' ἄν τι ἐκ τῶν φυλάκων νεωτε-
ρισθείη. τοὺς δὲ προφυλάσσοντας ἀντιπροσώπους ἀλλή- 11
λοις ἑστάναι· οὕτω γὰρ ἂν πάντα ὑπ' αὐτῶν βλέποιτο,
καὶ ἥκιστ' ἂν ὑπό τινων ἀγρευθεῖεν λάθρᾳ προσελθόν-
των, ἅπερ ἤδη γεγονότα περὶ τὰ ἡμεροσκοπεῖα δεδήλω-
ται. ἐν δὲ ταῖς χειμεριναῖς καὶ σκοτειναῖς νυξὶν ἄλλην 12
καὶ ἄλλην αὐτοὺς λίθους βάλλειν εἰς τὸ ἔξω μέρος τοῦ
τείχους, καὶ ὡς δὴ ὁρωμένους τινὰς ὑπ' αὐτῶν ἐρωτών-

---

3. *μὴ προειδότων M* ‖ 4. *ἀγνοεῖν*] *ἀγνοοῦντες M* ‖ 5. *οὐ γὰρ ἐπιτη-
δειον προειδέναι ἃ μέλλει* Meierus: *οὐ γὰρ ἐπιτήδειον προϊέναι ἀμελεῖ M* ‖
7. *φυλάκων M* ‖ 8. *φυλακίου M* ‖ 9. *προφυλασσόντων* C: *τῶν προφυλασ-
σόντων M.* malim *προφυλασσέτω* | *φυλάκιον M* ‖ 10. *ἄλλος ἐπὶ*] *ἄλλος
εἰς M* ‖ 11. *ἄλλοι* addiderunt T | *ἐπὶ*] *εἰς M* ‖ 12. *πολλοί τε ἅμα*] *πολλοί
τε καὶ ἅμα M* | *περιοδεύσουσι* Meierus: *περιοδεύουσιν M* ‖ 13. *ἕκαστος*
C: *ἕκαστον M.* malim *καὶ κατὰ μικρὸν ἕκαστος χῶρον κινηθήσεται* |
οὐδ' ἀεὶ οἱ αὐτοὶ παρὰ τοῖς αὐτοῖς] *καὶ οὐδ' ἅμα οἱ αὐτοὶ παρὰ τοῖς
αὐτοῖς M.* poterat etiam scribi *οὐδ' οἱ αὐτοὶ ἀεὶ παρὰ τοῖς αὐτοῖς* ‖ 15.
προφυλάκων C: *φυλάκων M* | *γινομένοις προσφύλαξιν M.* correxit C ‖
16. *ἥκιστ' ἂν* Kirchhoffius: *ὅταν M* ‖ 17. *τοὺς δὲ προφυλάσσοντες* Kirch-
hoffius: *τούσδε προφυλάσσωσιν M* ‖ 18. *πάντα*] *πάντη M* | *ὑπ'* T: *ἀπ'
M* | *βλέποιντο M* ‖ 19. *ἥκιστ' ἄν*] *ἥκιστα M* | *προσελθόντων* T: *προελ-
θόντων M* ‖ 20. *ἡμεροσκοπεῖα* H: *ἡμεροσκόπια M.* rectius scribes *ὅπερ
ἤδη γεγονὸς περὶ τὰ ἡμεροσκοπεῖα δεδήλωται.* sed referenda haec potius
ad interpolatorem ‖ 21. *ἄλλην καὶ* inseruit C ‖ 23. Fortasse *ὁρωμένων*

των τίνες εἰσίν· ἀπὸ ταὐτομάτου γὰρ ἂν γνωσθεῖέν τινες
13 *προσπελάζοντες. ἂν δὲ δοκῇ, καὶ εἰς τὸ ἔσω μέρος*
τοῦ τείχους τὸ αὐτὸ ποιεῖν. οἳ δέ τινες τοῦτό φασι
βλαβερὸν εἶναι· τοὺς γὰρ προσιόντας τῶν πολεμίων ἐν
14 *τῷ σκότει προαισθάνεσθαι ὅτι οὐ προσιτητέον ἐστίν, ἄρι-* 5
στον δ' ἐν ταῖς τοιαύταις νυξὶν ἔξω τοῦ τείχους κύνας
προσδεδέσθαι νυκτερεύοντας, οἵπερ ἐκ πλείονος ἐμφα-
νιοῦσι τὸν ἐκ τῶν πολεμίων κατάσκοπον προσπελάζοντα
τῇ πόλει λαθραίως ἢ τὸν πειρώμενον αὐτομολεῖν· ἅμα
δὲ καὶ τὸν φύλακα, ἐὰν τύχῃ καθεύδων, ἐγεροῦσι διὰ 10
15 *τὸν ὑλαγμόν. ᾗ δ' ἂν τῆς πόλεως εὐπρόσοδα καὶ εὐεπί-*
θετα τοῖς πολεμίοις ᾖ, τῇδε φύλακας καθιστάναι τοὺς
τὰ πλεῖστα κεκτημένους καὶ ἐντιμοτάτους τε καὶ τῶν με-
γίστων μετέχοντας ἐν τῇ πόλει· μάλιστα γὰρ ἂν αὐτοῖς
προσήκοι μὴ πρὸς ἡδονὰς τραπέσθαι, ἀλλὰ μεμνημένους 15
16 *ἂν προσέχειν. ἐν δὲ ταῖς πανδήμοις ἑορταῖς χρὴ τῶν*
κατὰ πόλιν φυλάκων ὅσοι ἂν ὦσι μάλιστα ὕποπτοι τοῖς
αὑτῶν καὶ ἄπιστοι ἀφίεσθαι ἀπὸ τῶν φυλακείων κατ'
17 *οἰκίας ἑορτάζειν. καὶ ἅμα μὲν πολυωρεῖσθαι δόξουσιν,*
ἅμα δὲ οὐδὲν ἂν ἐπ' αὐτοῖς εἴη πρᾶξαι. ἀντὶ δὲ τούτων 20
ἄλλους εἰς τὰ φυλακεῖα καθιστάναι πιστοτέρως ἔχοντας·
περὶ γὰρ τὰς ἑορτὰς μάλιστα οἱ βουλόμενοί τι νεωτε-
18 *ρίζειν ἐγχειροῦσιν. ὅσα δὲ πάθη γέγονε περὶ τοὺς τοιού-*
19 *τους καιρούς, ἐν ἄλλοις δεδήλωται. ἀγαθὸν δὲ ἅμα τού-*

τινῶν ‖ 1. *εἰσίν*] *εἶεν M* | Malim *ἀπὸ ταὐτομάτου γὰρ ἂν οὕτω γνωσθεῖέν τινες προσπελάζοντες* ‖ 2. *εἰς τὸ ἔσω μέρος τοῦ τείχους*] *εἰς τὸ ἔσω μέρος τῆς πόλεως M.* poteras etiam *εἰς τὸ ἔσω μέρος* omisso *τῆς π..λεως* ‖ 5. *ὅτι οὐ προσιτητέον* Hauptius: *οὐ προσπηγαιον M.* post *ἐστίν* in scriptis est *διὰ τὴν φωνήν τε τῶν περιόδων καὶ τὸ βάλλειν ἀλλὰ μᾶλλον εἰς τὸν σιγώμενον τόπον* ‖ 6. *ταῖς* addidi | *τείχους* H: *τείχεος M* | *κύνας* C: *κύνα M* ‖ 8. *κατασκοπον ἢ αὐτόμολον προσπελάζοντα τῇ πόλει λαθραίως ἢ πῇ ὁρμώμενον αὐτομολοῦντα ἅμα δὲ M* ‖ 10. *ἐγεροῦσι* C: *ἐγείρουσι M* ‖ 11. *ᾗ* C: *ἢ M* ‖ 14. *ἐν* adiecit H ‖ 15. *προσήκοι* T: *προσήκει M* ‖ 16. *ἐν* inseruit Haasius ‖ 17. *ὅσοι ἐν σώμασι μάλιστα ὕποπτοι τοῖς αὑτῶν M* ‖ 19. *ἅμα* C: *ἀλλὰ M* ‖ 22. Post *περὶ γὰρ τὰς ἑορτὰς* in *M* est *τοὺς τοιούτους καιρούς* ‖ 23. *πάθη* H: *παθεα M* | *τοὺς τοιούτους καιρούς* C: *τοῦ στοιχείου τοὺς καιροὺς M* ‖ 24. *δεδήλωται*] *δηλοῦται M* | *ἀγαθὸν* T: *ὁμαλὸν M* ‖

τοις μηδὲ τὰς ἀναβάσεις ἐπὶ τὸ τεῖχος εὐπόρους εἶναι ἀλλὰ κλειστάς, ἵνα μηδενὶ ἐγγίγνηται προκαταλαμβάνειν τι τοῦ τείχους βουλομένῳ ἐνδοῦναι τοῖς πολεμίοις, ἀλλ' ὥσι φύλακες οὓς ἂν σὺ βούλῃ ἐξ ἀνάγκης ἐπὶ τοῦ τείχους διατελοῦντες καὶ μὴ καταβαίνοντες, ἄν τέ τινες ἔξωθεν τῆς πόλεως λάθωσιν ὑπερβάντες, μὴ ῥᾳδίως διὰ ταχέων καταβαίνωσιν ἀπὸ τοῦ τείχους εἰς τὴν πόλιν, ἐὰν μὴ θέλωσιν ἀφ' ὑψηλῶν καταπηδῶντες κινδυνεύειν καὶ μήτε λαθεῖν μήτε φθάσαι. πρέποι δ' ἂν τὸ παρασκεύασμα τοῦτο περὶ τὰς ἀναβάσεις καὶ ἐν τυράννου ἀκροπόλει. μετὰ δὲ τὴν ἔξω ναυμαχίαν ἐπιβουλευόμενος ὁ φρούραρχος Νικοκλῆς, τὰς ἀναβάσεις κλειστὰς ποιήσας κατέστησε φύλακας ἐπὶ τῷ τείχει, ἔξω δὲ τῆς πόλεως περιοδείας ἐποιεῖτο μετὰ κυνῶν· προσεδέχετο γὰρ ἔξωθέν τινα ἐπιβουλήν. ἐν ὁμονοοῦσι δὲ καὶ μηδενὸς ὑποπτεύοντος ἐν τῇ πόλει ἐν τοῖς ἐπὶ τῷ τείχει φυλακείοις δεῖ τὰς νύκτας λύχνα καίεσθαι ἐν λαμπτῆρσιν, ἵνα καθ' οὓς ἄν τι προσπελάζῃ πολέμιον, ἄρωσι τῷ στρατηγῷ τὸν λαμπτῆρα. ἐὰν δὲ μὴ φαίνηται πρὸς τὸν στρατηγὸν ὁ λαμπτὴρ τόπου κωλύοντος, ἄλλος ἐπ' ἄλλῳ διαδεκτὴρ ὑπολαμβάνων λαμπτῆρι σημαινέτω τῷ στρατηγῷ, ὁ δὲ στρατηγὸς τὸ ἐμφανιζόμενον αὐτῷ τοῖς ἄλλοις φύλαξι δηλούτω τῇ σάλπιγγι ἢ τοῖς δρομοκήρυξιν, ὁποτέρως ἂν συμφέρῃ. κατὰ δὲ τοὺς καιροὺς τούτους καὶ οὕτω περὶ τὰς φυλακὰς διατελούντων παραγγελλέσθω τῷ ἄλλῳ ὄχλῳ, ὅταν σημανθῇ, μηδένα ἐξιέναι· ἐὰν δέ τις ἐξίῃ ἐπί τινα πρᾶξιν ἀναγκαῖον, μετὰ λαμπτῆρος πορεύεσθαι, ἵνα πόρρωθεν κατάδηλος ᾖ τοῖς περιοδεύουσι.

---

2. ἐγγίνηται *M* ‖ 3. τι Kirchhoffius: ἔτι *M* ‖ 4. βούλῃ H: βούλει *M* ‖ 5. καταβαίνουσιν *M*. correxit C ‖ 8. ἀφ' ὑψηλῶν H: ἀπ' ἀλλήλων *M* ‖ 9. Malim τὸ post τοῦτο inseri ‖ 11. ἐπιβουλευόμενος C: ἐπιβουλευομένοις *M* ‖ 12. τὰς adieci ‖ 14. περιοδείας C: περιοδίας *M* | προσεδέχοντο *M* ‖ 16. ἐν τῇ πόλει] Fortasse τὸν πέλας | ἐν τοῖς ἐπὶ τῷ T: ἐν τῷ *M* ‖ 17. ἐν addidit C ‖ 19. ἐὰν δὲ idem: ἐὰν *M* ‖ 20. ἐπ' ἄλλῳ adieci ‖ 21. σημαινέτω] φαινέτω *M* ‖ 23. Adieci τῇ | ἢ τοῖς δρομοκήρυξι T: τοῖς δρομοκήρυξιν η *M* ‖ 26. σημανθῇ Kirchhoffius: σημειωθῇ *M* ‖

24 μηδ᾽ ἐργάζεσθαι μηδένα δημιουργὸν ἢ χειροτέχνην, ἵνα
μὴ ψόφοι ἀπ᾽ αὐτῶν γίγνωνται τοῖς φύλαξιν. ὃν δ᾽ ἂν
τρόπον ἴσως καὶ κοινῶς μακροτέρων ἢ βραχυτέρων τῶν
νυκτῶν γιγνομένων ἅπασιν αἱ φυλακαὶ γίγνοιντο, πρὸς
25 κλεψύδραν χρὴ φυλάσσειν. ταύτην δὲ μεταβάλλειν διὰ 5
δέχ᾽ ἡμερῶν, μᾶλλον δὲ αὐτῆς κεκηρῶσθαι τὰ ἔσωθεν,
καὶ μακροτέρων μὲν γιγνομένων τῶν νυκτῶν ἀφαιρεῖσθαι
τοῦ κηροῦ, ἵνα πλέον ὕδωρ χωρῇ, βραχυτέρων δὲ προσ-
πλάσσεσθαι, ἵνα ἔλασσον δέχηται. περὶ μὲν οὖν φυλα-
κῶν ἱσότητος ἱκανῶς μοι δεδηλώσθω. 10

26 Ἐν δὲ τοῖς ἀκινδυνοτέροις τοὺς ἡμίσεις τῶν προγε-
γραμμένων εἰς τὰς φυλακὰς καὶ περιοδείας χρὴ τετάχθαι,
καὶ οὕτω τὸ ἥμισυ τῆς στρατιᾶς νύκτα ἑκάστην φυλάξει·
ἀκινδύνων δὲ καὶ εἰρηναίων ὄντων ἐλάχιστά τε καὶ
27 ἐλαχίστους τῶν ἀνθρώπων ὀχλεῖν. καὶ ἐν ταῖς περιο- 15
δείαις χρὴ σκυταλίδα ἔχουσαν σημεῖον παρὰ τοῦ στρα-
τηγοῦ παραδίδοσθαι τῷ πρώτῳ φύλακι, τοῦτον δὲ δι-
δόναι τῷ ἐχομένῳ καὶ ἕτερον ἑτέρῳ, μέχρι ἂν περιενεχθῇ
ἡ σκυταλὶς κύκλῳ τὴν πόλιν καὶ κομισθῇ παρὰ τὸν στρα-
τηγόν· προειρῆσθαι δὲ τοῖς φύλαξι μὴ πορρωτέρω προε- 20
28 νεγκεῖν τὴν σκυταλίδα τοῦ ἐχομένου φύλακος. ἐὰν δ᾽ ὁ
ἐλθὼν καταλάβῃ τόπον ἔρημον φύλακος, ἀντιδιδόναι παρ᾽
οὗ ἔλαβε τὴν σκυταλίδα, ἵν᾽ αἴσθηται ὁ στρατηγὸς καὶ
γνῷ τὸν μὴ παραδεξάμενον ἀλλ᾽ ἐκλιπόντα τὴν φυλα-
29 κήν. ὃς δ᾽ ἂν φυλακῆς αὐτῷ οὔσης μὴ παρῇ εἰς τὸ τε- 25
ταγμένον, ὁ λοχαγὸς αὐτοῦ παραχρῆμα τὴν φυλακὴν

---

1. ἢ interposuit Meinekius ‖ 2. ἀπ᾽ αὐτῶν γίγνωνται] ἀπό τινων γίνωνται *M* ‖ 3. Proxima excerpsit Iulius Africanus c. XLVIII | τῶν adiecit Kirchhoffius ‖ 4. γινομένων *M* | ἅπασιν C: καὶ πᾶσιν *M* ‖ 5. ταύτην δὲ μεταβάλλειν διὰ δέχ᾽ ἡμερῶν] ταύτην δὲ συμβάλλειν διαδοχῇ μέριδος *M* ‖ 7. γινομένων *M* ‖ 8. προσπλάσσεσθαι C: προσπελάσσεσθαι *M* ‖ 9. φυλακῶν ἱσότητος ἱκανῶς C: φυλάκων ἰσότητος ἱκανός *M* ‖ 11. ἡμίσεας *M* ‖ 12. περιοδείας C: περιοδίας *M* ‖ 15. ἐν ταῖς T: ἐάν τε *M* | περιοδείας *M* ‖ 16. Post χρὴ in *M* est τῶν στρατηγῶν. mox addidi διδόναι ‖ 18. ἂν inseruit Meinekius ‖ 19. καὶ κομισθῇ] καὶ πάλιν κομισθῇ vel καὶ ἀνακομισθῇ idem ‖ 20. φύλαξι] προφύλαξιν *M* ‖ 21. δ᾽ ὁ] δὲ *M* ‖ 22. ἀντιδιδόναι] πάντ᾽ ἀντιδιδόναι *M* ‖ 23. ἵν᾽ adiecit C ‖ 24. ἐκλιπόντα idem: ἐκλείποντα *M*.

ἀποδόσθω, ὁπόσον ἂν εὑρίσκῃ, καὶ καταστησάτω ὅστις ὑπὲρ αὐτοῦ φυλάξει. ἔπειτα ὁ πρόξενος ἐκ τῶν αὐτοῦ ἀποδιδότω τῷ πριαμένῳ τὴν κομιδήν, ὁ δὲ ταξίαρχος αὐτὸν τῇ ὑστεραίᾳ ζημιούτω τῇ νομιζομένῃ ζημίᾳ.

23 Ἐπεξόδους δὲ ποιούμενον λαθραίας ἐν νυκτὶ τοῖς προσκαθημένοις πολεμίοις τάδε προνοεῖν. πρῶτον μὲν φυλάξαι ὅπως μή τις ἐξαυτομολήσῃ· ἔπειτα φῶς ὑπαίθριον μηδὲν εἶναι, ἵνα μὴ ὁ ὑπὲρ τῆς πόλεως ἀὴρ πυρωδέστερος ὢν τοῦ ἄλλου ἐκφήνῃ τὸ μέλλον. τούς τε τῶν **2** κυνῶν ὑλαγμοὺς καὶ τῶν ἀλεκτρυόνων τὰς ᾠδὰς ἀφανίζειν τόνδε τὸν καιρόν, ἐπικαύσαντά τι τοῦ σώματος· καὶ γὰρ αἱ τούτων φωναὶ ὄρθρου φθεγγομένων ἐκφανοῦσι τὸ μέλλον. ἐποίησαν δέ τινες καὶ τοιόνδε τεχνά- **3** σαντες. στασιασμοῦ προσποιητοῦ μετὰ προφάσεως εὐλόγου γενομένου παρ᾽ αὐτοῖς, καιρὸν τηρήσαντες καὶ ἐπεξελθόντες ἐπέθεντο παρ᾽ ἐλπίδα τοῖς πολεμίοις καὶ κατώρθωσαν. ἤδη δέ τινες τειχήρεις ὄντες καὶ ὧδε **4** ἔλαθον ἐπεξελθόντες. τὰς μὲν πύλας ἀνέδειμαν ὁρατῶς τοῖς πολεμίοις· ᾗ δὲ μάλιστα εὐεπιθέτους εἶχον τοὺς ἐναντίους, ταύτῃ κατεπέτασαν ἱστίον, καὶ ἀνῆραν διὰ χρόνου τινός, ὥστε κατ᾽ ἀρχὰς μὲν θαυμάσαι τοὺς πολεμίους, ὕστερον δὲ καὶ πολλάκις γιγνομένου ἀμέλειαν εἶχον. οἱ **5** δὲ ἐν τῇ πόλει ἐν νυκτὶ διελόντες τοῦ τείχους ὅσον ἤθελον, καὶ ἀντιδομὴν παρασκευασάμενοι κατεπέτασαν τὸ ἱστίον, τηρήσαντες δὲ καιρὸν καὶ ἐπεξελθόντες ἐπέθεντο παραδόξως τοῖς πολεμίοις· ποιοῦντες δὲ ταῦτα ἐφύλασσον μή τις αὐτομολήσῃ. οὐ μὴν οὐδ᾽ ἐν ταῖς νυ- **6**

---

1. ὁπόσον H: πόσον δ᾽ *M* ‖ 2. ὑπὲρ] Malim ἀντ᾽ | ὁ adiecerunt T | ἐκ τῶν iidem: ἐξ *M* ‖ 3. κομιδήν] φυλακὴν *M* ‖ 5. λαθραίως *M* ‖ 7. μή τις C: μὴ *M* ‖ 8. μὴ ὁ T: μήθ᾽ *M* ‖ 10. ᾠδὰς] φωνὰς *M* | ἀφανίζειν] ἀφανίζειν ἄφωνα ποιοῦντα *M* ‖ 12. φθεγγόμεναι *M* | ἐκφαίνουσι *M* ‖ 13. ἐποιήσαντο *M* ‖ 15. γενομένου C: γενομένης *M* ‖ 18. ἔλαθον ἐπεξελθόντες T: ἐλθόντες *M* ‖ 19. εὐεπιθέτους εἶχεν τοῖς ἐναντίοις *M* ‖ 20. ἱστίον] ἀγγειον *M* ‖ 21. κατ᾽ C: καὶ *M* ‖ 22. Malim ὕστερον δὲ πολλάκις τούτου γιγνομένου | γινομένου *M* ‖ 23. τειχ^{ss} *M* ‖ 25. καὶ adieci ‖ 27. Post αὐτομολήσῃ in *M* est διὸ δεῖ μηδὲν τῶν τοιούτων παροραν ‖

ξὶν ἀσκέπτως μετ᾽ ὄχλου ἐκπορευτέον. οἷα καὶ ἐν τοῖς τοιούτοις καιροῖς τῶν ἐπιβουλευόντων τινὲς τεχνάζουσιν, οἳ μὲν ἔσω τῆς πόλεως οἳ δὲ καὶ ἔξωθεν, προσάγεσθαι βουλόμενοι τοιοῖσδε ἀπατήμασι, πυρσεύσαντές τι ἢ ἐμπρήσαντες νεώριον ἢ γυμνάσιον ἢ ἱερὸν πάνδημον ἢ δι᾽ ὅπερ ἂν ἔξοδος γένοιτο πλήθους ἀνθρώπων οὐ τῶν τυχόντων. πράξεις δὲ καὶ ὧδε ἐξοισθήσεται ἐξαρχόντων. προητοίμασαν κατὰ τὴν χώραν θόρυβον γενέσθαι καὶ ἐκ τῶν ἀγρῶν εἰς τὴν πόλιν ἀγγελθῆναι κλωπῶν ἐπιβουλήν, δι᾽ ὅπερ ἔμελλον οἱ πολῖται σπεύσειν εἰς βοήθειαν. γενομένου δὲ τούτου οἵ τε ἄρχοντες καὶ οἱ συνεθέλοντες τοὺς πολίτας παρεκάλουν εἰς βοήθειαν. ἐπεὶ δ᾽ ἠθροίσθη τὸ πλῆθος τῶν πολιτῶν πρὸς τὰς πύλας σὺν ὅπλοις, τοιόνδε ἐτεχνάσαντο. προεῖπον οἱ ἄρχοντες τοῖς ἠθροισμένοις ὅτι τρία μέρη αὐτοὺς γενομένους δεῖ ἐνεδρεῦσαι μικρὸν ἀπωτέρω τῆς πόλεως, παραγγείλαντες ἃ προσῆκε πρὸς τὸ μέλλον, τοῖς δὲ ἀκούουσιν ἦν ἀνύποπτα. καὶ τοὺς μὲν ἐξαγαγόντες ἐκάθισαν εἰς χωρία ἐπιτήδεια ὡς ἐνεδρεύσοντας τοῖς ἐμβεβληκόσι πολεμίοις· αὐτοὶ δὲ λαβόντες σώματα αὐτοῖς συνίστορα τῆς πράξεως προεπορεύοντο ὡς κατασκεψόμενοί τε τὰ ἀγγελλόμενα καὶ προκινδυνεύσοντες τῶν ἄλλων, ἵνα δῆθεν προαγάγοιεν τοὺς πολεμίους εἰς τὰς ἐνέδρας ὡς ὑποφεύγοντες. πορευθέντες δὲ εἰς τόπον ὅπου ἦν αὐτοῖς ξενικὸν προητοιμασμένον κρυφαίως κομισθὲν κατὰ θάλατταν, ἀναλαβόντες ἔφθασαν καὶ ἔλαθον εἰσαγαγόντες εἰς τὴν πόλιν κατ᾽

---

1. *ἐκπορευτέον* C: *ἐκπορευταῖον M.* post hanc vocem nonnulla videntur excidisse ‖ 2. *τοιούτοις* adiecit C ‖ 3. *προσάγεσθαι – ἀπατήμασι*] Verba suspecta ‖ 5. *ἢ* ante *ἱερὸν* adiecit C ‖ 6. Post *ἀνθρώπων* in *M* est *καί* | Post *τυχόντων* in *M* est *προνοοῦντα οὖν καὶ τὰ τοιαῦτα μὴ ἑτοίμως ἀποδέχεσθαι* ‖ 8. *προητοίμασαν*] *προετοιμάσαντες M* ‖ 11. *οἵ τε* T: *οἵ γε M* | *συνεθέλοντες* T: *συνελθόντες M* ‖ 12. *πολίτας* C: *πολεμίους M* | *ἐπεὶ δ᾽* T: *ἐπειδὴ M* ‖ 13. Malim *σὺν τοῖς ὅπλοις* ‖ 17. *τὰ μέλλοντα M* ‖ 21. *κατασκεψόμενοί* C: *κατακοψόμενοί M* | *τὰ ἠγγελμένα* Kirchhoffius | *προκινδυνεύσοντες* H: *προκινδυνεύοντες M* ‖ 22. *δῆθεν* C: *μηθὲν M* ‖ 25. *κρυφαίως κομισθὲν* C: *κρυφαι ὡς κονισθέντες M* ‖

ἄλλας ὁδούς, ὡς τοὺς ἐπεξελθόντας πολίτας πάλιν ἀπαγαγόντες· τὴν δὲ πόλιν καταλαβόντες τοῖς ξένοις τῶν ἐν ταῖς ἐνέδραις ὄντων τοὺς μὲν ἐφυγάδευον τοὺς δὲ ἐδέχοντο.

Παραδιδόντα δὲ συνθήματα δεῖ προνοεῖν, ἐὰν τύχῃ **24**
τὸ στράτευμα μιγάδες ὄντες ἀπὸ πόλεων ἢ ἐθνῶν, ὅπως μή, ἂν παρέχῃ τὸ ἓν εἶδος δύο ὀνόματα, ἀμφιβόλως παραδοθήσεται, οἷον τάδε, *Διόσκοροι Τυνδαρίδαι, Ἄρης* 2
Ἐνυάλιος, Ἀθηνᾶ Παλλάς, ξίφος ἐγχειρίδιον; λαμπὰς φῶς, καὶ ἄλλα ὁμότροπα τούτοις, ἅπερ δυσμνημόνευτά ἐστι καὶ βλάβην φέρει, ἐὰν κατὰ γλῶσσάν τις παραγγέλλῃ καὶ μὴ κοινότατα πᾶσιν. ἐν μιγάσιν οὖν 3
ξένοις οὐ δεῖ τὰ τοιαῦτα παραγγέλλειν, οὐδὲ ἐν ἔθνεσι συμμάχοις. οἷον Χαριδήμῳ Ὠρείτῃ περὶ τὴν Αἰολίδα συνέβη, καταλαβόντι Ἴλιον τρόπῳ τοιῷδε. τῷ ἄρχοντι 4
τοῦ Ἰλίου ἦν οἰκέτης ἐκπορευόμενος ἐπὶ λείαν ἀεί, καὶ μάλιστα ἐν ταῖς νυξὶν ἐξεπορεύετο καὶ εἰσεπορεύετο εἰσάγων τὰ ἀγρευθέντα ἑκάστοτε. ἐν δὲ τῷ χρόνῳ τούτῳ 5
καταμαθὼν ὁ Χαρίδημος ταῦτα πράσσοντα οἰκειοῦται, καὶ εἰς λόγους κρυφαίους ἀφικόμενος διομολογεῖται, καὶ ἔπεισεν αὐτὸν ἐκπορευθῆναι ἐν ῥητῇ νυκτὶ ὡς ἐπὶ λείαν· μεθ' ἵππου δὲ ἐκέλευσεν αὐτὸν ἐξελθεῖν ἐν τῇ νυκτί, ἵνα αἱ πύλαι αὐτῷ ἀνοιχθεῖεν. γενόμενος δ' ἔξω καὶ διαλεχθεὶς τῷ Χαριδήμῳ ἔλαβε παρ' αὐτοῦ ξένους ὡς τριάκοντα τεθωρακισμένους καὶ ἔχοντας ἐγχειρίδια καὶ περικεφαλαίας κρυφαίας. ἀπήγαγέ τε οὖν αὐτοὺς ἐν ἐσθῆτι 7

---

3. Post ἐδέχοντο in *M* est *διὸ δεῖ πάντα τὰ τοιαῦτα ὑποπτεύειν καὶ μὴ ἀλογίστως νύκτωρ εἰς πολεμίους ἔξοδον πλήθους ποιεῖσθαι* || 8. *Διόσκοροι* Meinekius: *διόσκουροι M* | Post *τυνδαρίδαι* in *M* est *περὶ ἑνὸς εἴδεος δύο ὀνόματα οὐ τὰ αὐτὰ καὶ ἄλλοτε δὲ* || 11. Post *ἔστιν* in *M* est *παρὰ τὰ νομιζόμενα ἑκάστῳ ἔθει τῶν ἀνθρώπων* || 12. *καὶ μὴ κοινότατα πᾶσιν*] *ἢ κοινόν τι ἅπασιν M* | *μιγάσιν* T: *μιγάσι δ' M* || 17. *εἰσάγων* C: *εἰς ἀγρὸν M* || 22. *ἐν τῇ νυκτί*] Haec nisi per dittographiam ex verbis *ἐν ῥητῇ νυκτί* nata sunt, rectius ponentur post *γενόμενος δ' ἔξω* || 23. Post *ἀνοιχθεῖεν* in *M* legitur *ἀλλὰ μὴ κατὰ τὴν διάλυσιν ἢ τὴν ἑκτομάδα πυλίδα ὥσπερ εἰώθει εἰσελθών* || 24. *αὐτοῦ* C: *αὐτῶν M* || 25. Post *ἐγχειρίδια* in *M* est *καὶ ὅπλα* || 26. *κρυφαίας* C: *κορυφαίας M* | *ἀπήγαγέ* T:

φαύλῃ καὶ ἔκρυψε τὰ ὅπλα, καὶ ὁμοιώσας αἰχμαλώτοις
μετ᾽ ἄλλων γυναικῶν καὶ παιδαρίων, καὶ τούτων ὡς
αἰχμαλώτων * *, εἰσεπορεύετο ἀνοιχθεισῶν αὐτῷ τῶν
8 πυλῶν διὰ τὸν ἵππον. ὅπου δὴ εὐθὺς οἱ εἰσελθόντες
ἔργου ἔσχοντο τόν τε πυλωρὸν ἀποκτείναντες καὶ εἰς ἄλ- 5
λας ξένας πράξεις ὁρμήσαντες καὶ τῶν πυλῶν ἐγκρατεῖς
ὄντες, ἐφ᾽ ἃς εὐθύς, οὐ πόρρω ὄντος τοῦ Χαριδήμου,
9 παρῆσαν τάξεις καὶ κατέλαβον τὸ πόλισμα. μετὰ δὲ
ταῦτα καὶ αὐτὸς εἰσεπορεύθη μετὰ πάσης τῆς δυνάμεως.
10 ἅμα δὲ τούτοις καὶ τοιόνδ᾽ ἔπραξε. τοῦ στρατεύματος 10
τινὶ μέρει ἐνέδρας ἐποιήσατο, προνοήσας ὅτι παρέσοιτο
βοήθεια ἐπὶ τὸ χωρίον, ὅπερ συνέβη· εὐθὺς γὰρ αἰσθό-
μενος Ἀθηνόδωρος Ἴμβριος, ὢν οὐ πόρρω μετὰ στρατεύ-
11 ματος, ἐπειρᾶτο βοηθεῖν ἐπὶ τὸ χωρίον. ἔτυχε δὲ καὶ
αὐτὸς ἀγχίνους μάλα ἀνθυποπτεύσας, καὶ οὐ τὰς ἐνε- 15
δρευομένας ὁδοὺς ἐπορεύθη πρὸς τὸ Ἴλιον, ἀλλὰ ἄλλας
πορευθεὶς ἔλαθέ τε ἐν τῇ νυκτὶ καὶ ἦλθε πρὸς τὰς
12 πύλας. καὶ ἔλαθόν τινες συνελθόντες εἰς τὴν πόλιν ἐν
13 τῷ Θορύβῳ, ὡς τοῦ Χαριδήμου ὄντες στρατεύματος. ἔπειτα πρὸ τοῦ πλείους εἰσελθεῖν ἐγνώσθησαν τῷ συνθή- 20
ματι, καὶ οἱ μὲν ἐξέπεσον αὐτῶν, οἱ δὲ περὶ τὰς
πύλας διεφθάρησαν· τοῖς μὲν γὰρ ἦν τὸ σύνθημα Τυν-
14 δαρίδαι, τοῖς δὲ Διόσκοροι. καὶ παρὰ τοῦτο ἐγένετο τὴν
πόλιν μὴ ἀντικαταληφθῆναι παραχρῆμα ὑπὸ τοῦ Ἀθηνο-
δώρου ἐν τῇ αὐτῇ νυκτί. παραγγέλλειν οὖν χρὴ τὰ συν- 25
θήματα εὐμνημόνευτά τε καὶ ὡς μάλιστα ἀδελφὰ ταῖς
15 μελλούσαις πράξεσι γίγνεσθαι, οἷον τάδε. ἐπὶ μὲν ἄγραν
πορευόμενον Ἄρτεμιν Ἀγροτέραν, ἐπὶ δὲ κλοπὴν πρά-

ὡς ἀπήγαγεν *M* | Post αὐτοὺς in *M* est ἐν τῇ νυκτί || 1. καὶ ἔκρυψε τὰ ὅπλα] Verba suspecta || 4. οἱ εἰσελθόντες] Immo οἱ ξένοι εἰσελθόντες || 5. εἴχοντο *M* || 15. μάλα] πάλιν *M* | ἀνθυποπτεύσας C: ἂν ὑποπτεύσας *M* || 18. Fortasse ἔλαθόν τινες τῶν σὺν αὐτῷ εἰσελθόντες || 20. πλείονος *M* || 23. τοῖς δὲ C: τοῦ δὲ *M* | Διόσκοροι C: διοσκουροι *M* | τὴν πόλιν] πάλιν *M* || 26. ὡς μάλιστα T: μάλιστα ὡς *M* || 27. γίνεσθαι *M* || 28. πορευόμενος *M* | κλοπὴν πράξεως] κλοπήν τινα πράξεων *M* ||

ξεως Ἑρμῆν Λόλιον, ἐπὶ δὲ βιασμὸν Ἡρακλέα, ἐν δὲ τοῖς φανεροῖς ἐγχειρήμασιν Ἥλιον καὶ Σελήνην, καὶ ὡς μάλιστα ὁμότροπα τούτοις καὶ κοινότατα πᾶσιν. Ἱφικράτης δὲ οὐδὲ τὸ αὐτὸ σύνθημα ἐκέλευε τὸν περίοδόν τε καὶ φύλακα ἔχειν, ἀλλὰ ἕτερον ἑτέρῳ δεδόσθαι, ἵνα ὁ μὲν πρῶτος ἐρωτηθεὶς ἀποκρίνηται Ζεὺς Σώτηρ, ἐὰν τοῦτο ἔχων τύχῃ, ὁ δ' ἀντερωτηθεὶς Ποσειδῶν· οὕτω γὰρ ἂν ἥκιστα σφάλλοιντο ὑπὸ τῶν πολεμίων καὶ ἐξαυτομολοῖτο τὸ σύνθημα. πλάνης δὲ γενομένης τοῖς φύλαξιν ἀπ' ἀλλήλων συριγμῷ χρῆσθαι πρὸς αὐτούς, τοῦτον δὲ προσυγκεῖσθαι· πλὴν γὰρ τῷ εἰδότι ἄγνωστος τοῖς ἄλλοις ἔσται, ἐάν τε Ἕλληνες ἐάν τε βάρβαροι ὦσι. προενθυμεῖν δὲ τῶν κυνῶν μὴ διὰ τὸν συριγμὸν ἀσύμφορον ἐξ αὐτῶν ᾖ. ἐχρήσαντο δὲ αὐτῷ καὶ οἱ ἐν Θήβαις τὴν Καδμείαν καταλαβόντες· ὅτε γὰρ ἐσκεδάσθησαν νυκτὸς καὶ ἠγνόησαν ἑαυτούς, πρὸς συριγμὸν συνελέγοντο. τὰ δὲ συνθήματα ἐρωτᾶσθαι κοινῶς τοῖς τε περιοδεύουσι καὶ προφύλαξιν· οὐδὲν γὰρ προσήκει τὸν ἕτερον ἐρωτᾶν. ὡς γὰρ περίοδος καὶ πολέμιος ἂν ἐρωτῴη.

Ἔνιοι δὲ παρασυνθήμασι χρῶνται τῶν τε πανείων ἕνεκα καὶ πρὸς τὸ γνωρίζειν μᾶλλον τοὺς φίλους. εἶναι δὲ τὰ παρασυνθήματα ὡς ἰδιαίτατα καὶ δυσγνωστότατα τοῖς πολεμίοις· εἴη δ' ἂν τοιάδε. ἐν μὲν ταῖς σκοτειναῖς νυξὶ τό τε σύνθημα ἐρωτῆσαι καὶ φωνῆσαί τι ἄλλο ἢ ψόφον ἐμφανίσαι, τὸν δὲ ἐρωτώμενον τό τε σύνθημα ἀποκρίνασθαι καὶ ἄλλο τι προσυγκείμενον φωνῆσαι ἢ

---

1. *βιασμὸν* C: *βιασμῶν M* | *ἐν δὲ τοῖς*] *τοῖς δὲ M* || 4. *τὸ αὐτὸ* C: *αὐτὸ M* | *τὸν* C: *τὴν M* || 5. *ὁ μὲν πρῶτος* H: *ὁ μὲν τὸ πρῶτον M* || 7. *ἀντερωτηθεὶς* C: *ἂν ἐρωτηθεὶς M* | Malim *οὕτω γὰρ ἂν ἥκιστα καὶ σφάλλοιντο ὑπὸ τῶν πολεμίων καὶ ἐξαυτομολοῖτο τὸ σύνθημα* || 10. *τοῦτο M* || 11. *ἄγνωστον M* || 13. Fortasse *ἀσύμφορα* || 14. *καὶ ἐν Θήβαις ὅτε τὴν καδμείαν καταλαβόντες ἐσκεδάσθησαν M* || 16. *ἑαυτούς* C: *ἑαυτοῖς M* || 18. *ὡς γὰρ περίοδος καὶ πολέμιος ἂν ἐρωτῴη* C: *ὁ γὰρ περίοδος καὶ πολέμιος ἀνερωτῶν M* || 20. *παρασυνθήμασι* Γ: *παρασυνθήματι M* || 21. *ἕνεκεν M* || 22. *δὲ καὶ παρὰ συνθήματα M* || 23. Post *ἄν* in *M* est *τὰ παρασυνθήματα* || 24. *ἐρωτᾶν καὶ φωνεῖν M* | *ἄλλο* H: *μᾶλλον M* || 25. *ἢ ψόφον*] *καὶ ψόφον M* || 26. *ἀποκρίνεσθαι M* | *ἄλλο* C: *ἄλλῳ M* | *τι* adieci ||

ψόφον ἐμφανίσαι· ἐν δὲ τοῖς φαεινοῖς χρόνοις τὸν μὲν ἐρωτῶντα τὸ σύνθημα τὸν πῖλον ἀφελέσθαι ἢ ἐν τῇ
3 χειρὶ ἔχοντα ἐπιθέσθαι, ἔτι δὲ καὶ ἐπαγαγέσθαι τὸν πῖλον ἐπὶ τὸ πρόσωπον καὶ ἀπαγαγέσθαι ἀπὸ τοῦ προ-
4 σώπου, ἔτι δὲ καὶ τὸ δόρυ καταπῆξαι προσιόντα ἢ εἰς τὴν ἀριστερὰν χεῖρα λαβεῖν, τὸν δὲ ἐρωτώμενον τό τε σύνθημα ἀποκρίνασθαι καὶ ἄλλο τι προσυγκείμενον ποιῆσαι.

26 Περιοδεύειν δὲ ἐν τοῖς κινδύνοις πρῶτον τῶν ἐν τῇ ἀγορᾷ ἠθροισμένων λόχων δύο ὑπὸ τὸ τεῖχος ἐναλλὰξ ἀλλήλοις, διεσκευασμένους τοῖς ὑπάρχουσιν ὅπλοις καὶ παρασύνθημα, ὥστε ἀκριβῶς ἐκ πλείονος διαγνῶναι ἑαυ-
2 τούς. τοὺς δὲ τὴν πρώτην φυλακὴν περιοδεύοντας ἀδεί-πνους χρὴ περιοδεύειν· τυγχάνουσι γὰρ οἱ τὴν πρώτην προ-φυλάσσοντες ἀπὸ δείπνου ὄντες ῥᾳθυμοτέρως τε καὶ ἀκο-
3 λαστοτέρως διακείμενοι. περιοδεύειν δὲ ἄνευ λαμπτῆρος, ἂν μὴ λίαν χειμὼν ᾖ καὶ σκότος· εἰ δὲ εἴη σκότος, ὁ λαμπτὴρ φεγγέτω εἰς ὕψος μὲν μηδέν (κεκαλύφθω γάρ τινι), ἐπὶ δὲ τὴν γῆν καὶ πρὸ τῶν ποδῶν μόνον φεγ-
4 γέτω. ἐν ἱπποτροφούσῃ δὲ πόλει καὶ ἱππασίμῳ χει-μῶνος ἱππεῦσι περιοδεύειν· ἐν γὰρ τοῖς ψύχεσι καὶ πηλοῖς καὶ μήκεσι τῶν νυκτῶν θᾶσσον ἀνύοιτ' ἂν ἡ περιο-
5 δεία. εἶναι δὲ ἅμα τούτοις καὶ ἐπὶ τοῦ τείχους περιο-δείας, ὥστε τινὰς μὲν τὰ ἔξω τοῦ τείχους ἐπισκοπεῖσθαι,
6 τινὰς δὲ τὰ ἔσω. ἔχειν δὲ καὶ τοὺς περιοδεύοντας λίθους ἐν ταῖς σκοτειναῖς νυξί, καὶ βάλλειν ἄλλην καὶ ἄλλην εἰς τὸ ἔξω μέρος τοῦ τείχους. οἳ δὲ οὐκ ἐπαινοῦσι

---

3. ἔτι] ἔστιν *M* ‖ 6. χεῖρα λαβεῖν] παραλαβεῖν *M* | Post παραλαβεῖν in *M* est ἢ ἔχειν ἐν τῇ χειρὶ ἄραντα ἢ ἀνελέσθαι ‖ 7. ἄλλο] τούτων *M* ‖ 9. δὲ inseruerunt T | πρῶτον δὲ τῶν *M* ‖ 12. παρασυνθήματι vel παρασυνθήμασι C. malim τοῖς παρασυνθήμασιν | ὥστε Hauptius: ὡς *M* | 14. τὴν deletum malim ‖ 15. ἀπὸ δείπνου ὄντες C: οτιοδειπνουοντοσ *M* ‖ 17. εἰ δὲ εἴη σκότος] εἰ δὲ μὴ οὕτω *M* ‖ 19. καὶ πρὸ] καὶ τὰ πρὸ *M* | τῶν ποδῶν C: τῶν διπδων *M* ‖ 20. καὶ ἐν ἱππασίμῳ *M* ‖ 23. εἶναι] ἐὰν *M* | περιοδείας] περιοδεύωσι *M* ‖ 24. τὰ ἔξω] εἰς τὰ ἔξω *M* ‖ 25. Addidi τούς ‖

τοῦτο διὰ τὰ προγεγραμμένα. ἐν ὑποψίᾳ δ' ὄντων ἀλ- 7
λήλοις χρὴ τὰς περιοδείας εἶναι κάτω τοῦ τείχους, καὶ
μὴ ἀναβαίνειν τοὺς περιόδους πλὴν τῶν φυλάκων. καὶ
ἐὰν τὸ στράτευμα κεκακοπαθήκῃ μάχῃ λειφθέν, ἢ διὰ
τὸ πλῆθος ἀποβαλεῖν ἢ ἐκ τραυμάτων ἢ συμμάχων ἀπο-
στάσει ἢ δι' ἄλλο τι σύμπτωμα ἀθυμῇ καὶ τεταπεινω-
μένον ἦ, ἐπικίνδυνά τε ἦ τῶν πολεμίων ἐγγὺς ὄντων,
χρὴ τὰ προγεγραμμένα κατὰ τὰς φυλακὰς πράσσειν καὶ
τοὺς περιόδους. ἐν δὲ τοῖς τοιούτοις καιροῖς πυκνά τε 8
χρὴ περιοδεύειν, καὶ οὐ δεῖ προθυμεῖσθαι ἐν ταῖς περιο-
δείαις εὑρίσκειν τινὰς τῶν προφυλασσόντων ἀμελεστέρως
διακειμένους διὰ ὕπνον ἢ κάματον· οὐ γὰρ συμφέρει
οὕτω διακείμενον τὸ στράτευμα ἔτι ἀθυμότερον καθιστά-
ναι, ἀλλὰ μᾶλλον πρὸς θεραπείαν τε καὶ ἀνάληψιν
αὐτῶν τραπέσθαι. καὶ τοὺς περιόδους ἐν τοῖς τοιού- 9
τοις καιροῖς ἐκ πλείονος καταδήλους εἶναι προσιόντας
τοῖς φύλαξι φωνοῦντάς τι πόρρωθεν, ὅπως ἂν ἐγερθῇ
ἐὰν καθεύδῃ ὁ προφύλαξ, καὶ παρασκευάσηται ἀπο-
κρίνασθαι τὸ ἐρωτώμενον. ἄριστον δὲ αὐτὸν τὸν στρα- 10
τηγὸν ἐν τοῖς τοιούτοις καιροῖς ἐπιμελῶς ἑκάστοτε περιο-
δεύειν μετὰ ἀπολέκτων ἀνδρῶν. ὑπεναντίως δὲ τούτοις
διακειμένου τοῦ στρατεύματος ἐπισπερχεστέρως τοὺς φύ-
λακας ἐξετάζειν. ἐφοδεύειν τε τὸν στρατηγὸν μηδέποτε 11
τὴν αὐτὴν ὥραν ἀλλ' ἀεὶ διαλλάσσοντα, ἵνα μὴ προει-
δότες σαφῶς ἐκ πολλοῦ χρόνου τὴν ἄφιξιν τοῦ στρατηγοῦ
οἱ στρατιῶται ταύτην μάλιστα τὴν ὥραν φυλάσσωσιν.

---

1. ἐν ὑποψίᾳ δ' ὄντων ἀλλήλοις χρὴ τὰς T: ἐν ὑποψίᾳ ὄντων ἀλλήλοις χρὴ δὲ τὰς *M* ‖ 3. τοὺς C: τὰς *M* ‖ 4. τὸ inserui | κεκακοπαθήκῃ T: κεκακοπάθηκεν *M* | λειφθὲν C: ληφθὲν *M* ‖ 5. ἐκ adiecit C ‖ 6. ἀθυμῇ C: ἀθυμεῖ *M* ‖ 7. τε ἦ C: τε ἢ *M* | τῶν adieci ‖ 9. τοὺς T: τὰς *M* | δὲ inseruerunt iidem | πυκνὰ H: πυκνὰς *M* ‖ 13. Post καθιστάναι in *M* est εἰκὸς δὲ ὅταν εὑρεθῇ αἰσχρόν τι ποιῶν ἀθυμεῖν ‖ 15. τοὺς adiecit C ‖ 16. Post ἐκ πλείονος in *M* est χωρίου ‖ 18. ἀποκρίνεσθαι *M* ‖ 20. ἑκάστοτε] ἕκαστον *M* ‖ 21. Post μετὰ in *M* est τῶν αὐτῶν | ἀπολέκτων C: ἀποδεκτων *M* | ὑπεναντίως C: ὑπεναντίοις *M* ‖ 24. ἀεὶ διαλλάσσοντα Hauptius: ἰδίᾳ λαμβάνοντα *M* | προειδότες T: προιδόντες *M* ‖

12 ἀποδέχονται δέ τινες καὶ τόδε ἐπαγγελλομένων τινῶν
καὶ κελευόντων. τὸν πολίταρχον, ἐὰν μὴ θέλῃ περιο-
δεύειν διὰ νόσον τινὰ ἢ ἀρρωστίαν, θέλῃ δὲ εἰδέναι
τὸν μὴ φυλάσσοντα καθ' ἑκάστην φυλακήν, τάδε ποιεῖν
13 χρή. λαμπτῆρα εἶναι προσυγκείμενον πᾶσι τοῖς ἐπὶ τῷ 5
τείχει φύλαξι, πρὸς ὃν πάντες ἀνταροῦσιν οἱ προφύλα-
κες· αἱρέσθω δὲ ἐκ τόπου ὅθεν πάντες ὄψονται οἱ ἐπὶ
14 τῷ τείχει φύλακες. ἐὰν δὲ μὴ ὑπάρχῃ τοιοῦτος τόπος,
παρασκευασθήτω ἔκ τινων ὕψος ὡς μέγιστον. ἔπειτα ἀπὸ
τούτου αἱρέσθω λαμπτήρ, καὶ πρὸς τοῦτον ἀνταίρεσθαι 10
τοὺς ἄλλους καθ' ἕνα ἕκαστον ἀφ' ἑκάστου φυλακείου.
ἔπειτα ἀριθμεῖσθαι, καὶ οὕτως εἰδέναι εἰ πάντες ἦραν
οἱ προφύλακες ἢ ἐκλείπει τις τῶν φυλάκων.

27 Τοὺς δὲ περὶ πόλιν ἢ στρατόπεδον ἐξαίφνης θορύ-
βους καὶ φόβους γενομένους νυκτὸς ἢ μεθ' ἡμέραν, ἅπερ 15
ὑπό τινων καλεῖται πάνεια (ἔστι δὲ τὸ ὄνομα Πελο-
ποννήσιον καὶ μάλιστα Ἀρκαδικόν), τοιόνδε τινὲς κε-
2 λεύουσι, καταπαύειν θέλοντες αὐτά. προσυγκεῖσθαι τοῖς
ἐν τῇ πόλει σημεῖον, ὃ ἰδόντες γνώσονται ὅτι ἐστὶ
πάνειον· ἔστω δὲ πυρσός τις προσυγκείμενος ἐπὶ χωρίου 20
3 εὐκατόπτου πᾶσιν εἰς δύναμιν τοῖς ἐν τῇ πόλει. ἄριστον
δὲ παρηγγέλθαι, καθ' οὓς ἂν τῶν στρατιωτῶν γένηται ὁ
φόβος, κατὰ χώραν τε ἠρεμεῖν καὶ ἀναβοᾶν παιᾶνα, ἢ
λέγειν ὅτι ἐστὶ πάνειον, καὶ τὸν ἀκούοντα ἀεὶ τῷ πλη-
4 σίον παραγγέλλειν. καθ' οὓς ἂν οὖν τοῦ στρατεύματος 25
μὴ ἀντιπαιανίζωσιν, εἰδέναι κατὰ τούτους τὸν φόβον
ὄντα. ἐὰν δέ τι ὁ στρατηγὸς φοβερὸν αἴσθηται, τῇ
σάλπιγγι σημαίνειν· οὕτω δ' ἔσται γνωστὸν ὅτι ἐστί τι

---

3. *νόσον*] *φόβον M* ‖ 5. *λαμπτῆρας M* ‖ 6. *πρὸς ὃν*] *καὶ πρὸς ὃν M* | *ἀνταροῦσιν* Meinekius: *ἀνταίρουσιν M* ‖ 7. *αἱρέσθω* H: *ἀειρέσθω M* | *οἱ ἐπὶ τοῦ τείχους φύλακες M* ‖ 8. *τοιοῦτος* H: *ὁ τοιοῦτος M* ‖ 13. *τῶν φυλάκων*] Immo *τῶν προφυλάκων* ‖ 14. *στρατόπεδα M* ‖ 17. *τοιόνδε*] *ταῦτ' οὖν M* ‖ 19. *σημεῖον ὃ*] *σημεῖα δ' M* | *γνώσονται* T: *γνώσονται γνώσονται δὲ M* ‖ 20. *ἔστω δὲ αἰσθήσονται πυρός τι προσυγκείμενον ἐπιχώρου M* ‖ 21. *εὐκατόπτου* T: *εκκατόπτου M* ‖ 22. *παρηγγέλθαι* H: *προπαρηγγέλθαι M* | *ὁ* addidi ‖ 24. *ἐστί*] *εἴη M* ‖ 25. *ἂν οὖν* Meierus: *ἂν M* ‖ 26. *ἀντιπαιανίζωσιν* idem: *ἀντιπαιανίζουσιν M* ‖ 28. *οὕτω δ' ἔσται γνωστὸν ὅτι*

πολέμιον. μάχης δὲ γενομένης καὶ νικηθέντων ὡς τὰ πολλὰ γίγνονται φόβοι, ἐνίοτε μὲν ἡμέρας, νυκτὸς δὲ καὶ πάνυ. ὡς οὖν ἧσσόν τι τοιοῦτο γένηται, χρὴ εἰς τὴν νύκτα παρηγγέλθαι τοῖς στρατιώταις πᾶσι παρὰ τὰ ὅπλα εἶναι ὡς μάλιστα, ὡς ἐσόμενόν τι περὶ αὐτούς. προειδότων οὖν εἰκός ἐστιν, ἐάν τι γένηται, μὴ ἀπροσδοκήτοις προσπεσεῖν, μηδὲ ὑπὸ φόβων ἐξαπιναίων ταράσσεσθαι καὶ ἀπόλλυσθαι. Εὐφράτας δέ, ὁ Λακώνων ἀρμοστὴς ἐπὶ Θράκης, ἐπεὶ αὐτῷ πυκνὰ ἐγίγνοντο ἐν τῷ στρατεύμαιι τὰς νύκτας φόβοι, καὶ οὐκ ἐδύνατο ἄλλῳ τρόπῳ παῦσαι, τοιόνδε παρήγγειλεν εἰς τὴν νύκτα. ὅταν τις θόρυβος γίγνηται, ἀνακαθίζειν πάντας εὐθὺς παρὰ τὰ ὅπλα ἐν τῇ εὐνῇ, ἀνίστασθαι δὲ μηδένα ὀρθόν· ἂν δέ τις ἴδῃ τινὰ ὀρθόν, ὥσπερ πολεμίῳ τῷ ἀνασιάντι χρῆσθαι. πρὸς δὲ τούτοις, ὅπως ἀληθῶς τὸ παράγγελμα μετὰ φόβου ᾖ, γενομένου τινὸς θορύβου ἐπλήγη τις τῶν σπουδαιοτέρων ἀνδρῶν οὐχὶ θανατηφόρως, τῶν δὲ φαύλων τινὲς ὥστε καὶ ἀποθανεῖν. συμβάντος δὲ τούτου ὑπήκουσάν τε οἱ ἄνθρωποι, καὶ εὐλαβούμενοι ἐπαύσαντο τῶν τε θορύβων καὶ τοῦ περιδεῶς ἐξανίστασθαι ἐκ τῶν κοιτῶν. ἐπαύθη δὲ καὶ τοιῷδε τρόπῳ. στρατοπέδῳ θορυβουμένῳ νυκτὸς κηρύξας σιγὴν ὁ κήρυξ ἀνήγγειλε τὸν μηνύσαντα τὸν ἀφέντα τὸν ἵππον διώκειν θορυβηθῆναι. χρὴ δ', ἵνα μή τι τοιοῦτον ἐν ταῖς νυξὶ πάσχῃ τὸ στράτευμα, καθ' ἑκάστην φυλακὴν καθεστάναι ἀφ' ἑκάστου λόχου ἢ τάξεως ἐπὶ τοῖς κέρασι καὶ ἐν τοῖς μέσοις ἄνδρα ὡς οἷόν τε προσεκτικόν, ὃς ἐάν τινα αἴσθηται ἐκ

ἐστί τι πολέμιον] τοῦτο δ' ἔστω γνωστὸν ὅτι εἴη τὸ πολέμιον *M* ‖ 2. γίνονται *M* | μὲν] μὲν καὶ *M* | νυκτὸς δὲ καὶ Meinekius: καὶ νυκτὸς δὲ καὶ *M* ‖ 3. ὡς] ὥστε *M* | γένηται] γενέσθαι *M* ‖ 4. παρὰ T: κατὰ *M* ‖ 6. προειδότες *M* | γένηται C: γίνηται *M* ‖ 9. Malim πυκνοί | ἐγίνοντο *M* ‖ 10. ἠδύναντο *M* ‖ 11. Inseruit τὴν ‖ 12. γίνηται *M* | πάντας] αὐτοὺς *M* | πρὸς τὰ ὅπλα *M* ‖ 14. Post τινὰ ὀρθόν in *M* est παρήγγειλεν ἐν πᾶσιν | τῷ ἐπαναστάντι *M* | Post χρῆσθαι in *M* est διὰ γὰρ τὸν φόβον τοῦ παραγγελθέντος ‖ 15. ἀληθὲς *M* ‖ 16. ᾖ γενομένου T: ἡγεμόνος *M* ‖ 18. τινὲς C: τινὰ *M* ‖ 22. σιγὴν C: σιγῆ *M* ‖ 23. ἀφέντα τὸν ἵππον C: ἀφεθέντα ἵππον *M* ‖ 24. ἵνα μή τι] ἄν τι M ‖ 25. ἀφ' addidi itemque ἐν ‖ 27. ἄνδρα

τοῦ ὕπνου ἢ ἄλλως ἀρχόμενον θορυβεῖν, εὐθὺς παρων
13 καθέξει καὶ κωλύσει αὐτόν. τοῦ δὲ ἄλλου πλήθους ἀπὸ
συσσιτίου ἑκάστου ἄνδρα παραφυλάσσειν, ὅπως, ἐάν τις
φόβος γένηται, οὗτοι εἰδότες τοὺς ματαίους φόβους κα-
14 ταπαύσωσι τοὺς παρ' αὐτῷ ἕκαστος. αὐτὸς δὲ θορυ- 5
βήσεις νυκτὸς τὸ τῶν ἐναντίων στράτευμα δαμάλεις τὰς
ἀγελαίας μετὰ κωδώνων ἀφιεὶς εἰς τὸ στρατόπεδον καὶ
15 ἄλλα ὑποζύγια, οἶνον ποτίσας. γενομένης δὲ ἡμέρας
τοὺς φύλακας μὴ ἀφιέναι ἐκ τῶν φυλακείων πρὶν ἂν τὰ
ἔξω προερευνηθέντα ἐμφανισθῇ καθαρὰ ὄντα πολεμίων· 10
καὶ ἀπιέναι τοὺς ἀπὸ τῶν φυλακείων μὴ ἅμα πάντας
ἀλλὰ κατὰ μέρη, ὅπως ἀεί τινες ἐπὶ τοῖς φυλακείοις
διατελῶσιν.

28 Προνοεῖσθαι δὲ καὶ τάδε ἐν φόβῳ οὔσης πόλεως.
πύλας τὰς μὲν ἄλλας κεκλεῖσθαι, μίαν δὲ ἀνεῳχθαι ἧ 15
ἂν δυσπροσοδώτατον ἧ τῆς πόλεως, καὶ ἐπὶ πλεῖστον
2 ἀπ' αὐτῆς μέλλωσιν ὁρᾶσθαι οἱ προσιόντες. καὶ ἐν ταύ-
τῃ ἐκτομάδα εἶναι, ἵνα σώματα ἀνθρώπων δι' αὐτῆς
ἐξίῃ καὶ εἰσίῃ καθ' ἕν· οὕτω γὰρ ἂν ἥκιστά τις λαν-
θάνοι αὐτομολῶν ἢ κατάσκοπος εἰσιών, ἐάνπερ γε ἧ ὁ 20
3 πυλωρὸς φρόνιμος. πᾶσαν δὲ ἀνοίγεσθαι ὑποζυγίων
ἕνεκα καὶ ἁμαξῶν καὶ ἄλλων ἀγωγίμων ἐπισφαλές. καὶ
ἐάν τι δέῃ εἰσενέγκασθαι σίτου ἢ ἐλαίου ἢ οἴνου ἢ τῶν

ὡς οἷόν τε προσεκτικὸν ὄς] ἀν ἄρα σοι προσέξωσιν ὅπως *M* | αἴσθηται] αἰσθάνωνται *M* ‖ 1. ἄλλως T: ἄλλω *M* | ἀρχόμενον H: ἐρχόμενον *M* | εὐθὺ *M* ‖ 2. αὐτόν Meinekius: αὐτίκα *M* ‖ 4. οὗτοι] οὗτοι δὲ *M* ‖ 5. αὐτῷ T: αὐτῷ *M* | αὐτὸς δὲ θορυβήσεις] αὐτὸν δὲ θορυβεῖν *M* ‖ 6. νυκτὸς Kirchhoffius: νοῦτος *M* ‖ 7. ἀφιεὶς] ἀφιέντες *M* ‖ 8. ἡμέρας] ἡμέρας χρὴ *M* ‖ 9. μὴ] εὐθὺ *M* | πρὶν ἂν Meinekius: πρὶν ἢ *M* ‖ 10. καθαρὰ ὄντα H: καὶ καθαρὰ εἶναι *M* ‖ 11. Post καὶ in *M* est οὕτω | φυλακείων C: φυλάκων *M* | ἅμα πάντας Meinekius: ἅπαντας *M* ‖ 14. Partem huius capitis excerpsit Iulius Africanus c. XL ‖ 16. Malim τὸ δυσπροσοδώτατον ‖ 17. αὐτῆς] αὐτῶν *M* | μέλλωσιν T: μέλλουσιν *M* ‖ 18. εἶναι addidi | σώματα] σώματα μὲν *M* | δι' αὐτῆς Iulius Africanus: κατὰ τὴν ἐκτομάδα πυλίδα *M* ‖ 19. καθ' ἕν] ἓν καθ' ἓν Iulius Africanus, καθ' ἓνα *M* | λανθάνοι T: λανθάνη *M* ‖ 20. ἐὰν πέρ γε ἢ ὁ πυλωρὸς νοηρος *M* ‖ 21. πᾶσαν δὲ] πᾶν δὲ Iulius Africanus, δὲ *M* ‖ 22. ἕνεκα Iulius Africanus: ἕνεκεν *M* | ἄλλων ex eodem accessit Africano | ἐπισφαλές C: ἐπισφα *M* ‖ 23. Post ἢ οἴνου

ὁμοτρόπων τούτοις ἁμάξαις ἢ σωμάτων πλήθει, ταῦτα χρὴ κατὰ τὰς ἐγγυτάτω πύλας εἰσκομίζειν, * * καὶ οὕτως ἂν τάχιστα καὶ ῥᾷστα εἰσκομισθείη. τὸ δ' ὅλον μὴ ἀνοίγεσθαι πρὼ τὰς πύλας ἀπροσκέπτως ἀλλ' ὀψιαίτερον, ἔξω τε μηδένα ἀφίεσθαι πρὶν ἂν ἐξερευνηθῇ τὰ περὶ τὴν πόλιν, ἔτι τε μηδὲ πλοῖα καὶ αὐτὰς ὁρμίζεσθαι ἀλλ' ἀπωτέρω, ὡς ἤδη γε καὶ ἡμέραι πολλαὶ πράξεις ἀνοιχθεισῶν ἀμφοτέρων πυλῶν γεγόνασιν ἐπιτεχνασμάτων καὶ προφάσεων τοιῶνδε ἐφ' ἑνὸς ἔργου πολλὰ παραπλησίως τούτῳ πραχθέντα. Πύθων μὲν ὁ Κλαζομένιος, καὶ τῶν ἐν τῇ πόλει τινῶν συνεθελόντων, τηρήσας τελέως τὸ ἡσυχαίτατον τῆς ἡμέρας, ἁμάξαις ἐκ παρασκευῆς πίθους εἰσαγούσαις κατέλαβε Κλαζομενὰς ἐν ταῖς πύλαις τῶν ἁμαξῶν, καθ' ἃς ξένων προϋπαρχόντων κρυφαίως οὐ πόρρω τῆς πόλεως, τοὺς μὲν τῶν πολιτῶν λαθόντες, τοὺς δὲ φθάσαντες, τινὰς δὲ τῶν ἔσω συνεργοὺς ἔχοντες κατέσχον τὴν πόλιν. Ἰφιάδης δὲ ὁ Ἀβυδηνός, κατὰ Ἑλλήσποντον καταλαμβάνων Πάριον ἄλλα τε περὶ τὴν ἀνάβασιν νυκτὸς ἐπὶ τὸ τεῖχος λάθρᾳ παρεσκευάσατο, καὶ ἁμάξας πληρώσας φρυγάνων καὶ βάτων παρέπεμψε πρὸς τὸ τεῖχος, ἤδη τῶν πυλῶν κεκλειμένων, ὡς τῶν Παριανῶν οὔσας. ἔτι ἐγγὺς ἐλθοῦσαι πρὸς τὰς πύλας ηὐλίζοντο, ὡς φοβούμεναι πολεμίους. ἃς ἔδει ἐν καιρῷ τινὶ ὑφαφθῆναι, ἵνα αἱ πύλαι ἐμπρησθῶσι καὶ πρὸς τὸ σβεννύειν τῶν Παριανῶν ὁρμησάντων αὐτὸς κατὰ ἄλλον τόπον εἰσέλθῃ.

---

in *M* est ἐν τάχει ‖ 1. πλήθει Iulius Africanus: πάθη *M* | ταῦτα C: ταῦτα δὲ *M* ‖ 2. ἐγγυτάτας *M* | κοιμίζειν *M* | οὕτως ἂν] ἐὰν *M* ‖ 4. πρὼ Meinekius: πρωὶ *M* ‖ 5. ἂν Iulius Africanus: ἢ *M* | ἐξερευνηθῇ COrellius: ἐξερευνήσῃ *M* ‖ 6. μηδὲ Iulius Africanus: μήτε *M* | κατ' αὐτὰς idem: κατὰ ταύτας *M* ‖ 10. Ante πύθων in *M* spatium est paucarum literarum | καὶ τῶν] Malim ἤδη καὶ τῶν ‖ 11. τελέως] Fortasse ἐπιμελῶς ‖ 12. ἡσυχότατον *M* ‖ 14. ξένων προϋπαρχόντων] Malim ξένοι προϋπάρχοντες ‖ 17. δὲ T: τε *M* | ὁ addidi ‖ 19. ἐπὶ τοῦ τείχους *M* ‖ 21. κεκλεισμένων *M* ‖ 22. οὔσας H: οὖσας τὰς ἁμάξας | Malim πρὸς ταῖς πύλαις ‖ 26. Post εἰσέλθῃ in *M* est δοκεῖ δέ μοι συναγαγόντα δηλωτέον ἵνα δὴ φυλάσσησθε καὶ ἐν οἷς καιροῖς ἕκαστα ἵνα τις μηδὲν εὐήθως ἀποδέχηται ‖

29 *Περὶ δὲ τῶν εἰσκομιζομένων εἰς τὴν πόλιν ἀγγείων*
2 *τε καὶ φορημάτων νῦν δηλωθήσεται. ἅπερ εὐλαβεῖσθαι*
δεῖ καὶ μὴ ἀφροντίστως αὐτῶν ἔχειν, καὶ μάλιστα τὸν
πυλωρὸν ἔν τισι καιροῖς, ὅταν ἔξωθέν τι ἢ ἔσωθεν φο-
3 *βερὸν ᾖ. ἐξοίσω δὲ παραδείγματος ἕνεκα ἐπὶ πράξει* 5
γεγενημένα. κατελήφθη γὰρ πόλις, ἔσωθέν τινων συνεθε-
4 *λόντων, ἐν ἑορτῇ πανδήμῳ τρόπῳ τοιῷδε. πρῶτον μὲν*
τοῖς προενδημήσασι ξένοις καὶ τῶν πολιτῶν τοῖς ἀνόπλοις
τε καὶ συνεργοῖς εἰς τὸ μέλλον ἐσομένοις εἰσεκομίσθησαν
θώρακες λινοῖ καὶ σπολάδες καὶ περικεφαλαῖαι ὅπλα 10
κνημῖδες μάχαιραι τόξα τοξεύματα ἐν κιβωτοῖς ὡς φορ-
ταγωγοῖς κατεσκευασμέναις, ὡς ἱματίων ἐνόντων καὶ
5 *ἄλλων ἀγωγίμων, ἅσπερ οἱ ἐλλιμενισταὶ ἀνοίξαντες καὶ*
ἰδόντες κατεσημήναντο, μέχρι τιμήσαιντο οἱ εἰσαγαγόντες.
6 *καὶ ταῦτα μὲν ἐτέθη ἐγγὺς τῆς ἀγορᾶς, ὅπου ἔδει· ἐν δὲ* 15
ταρσοῖς καὶ ῥιψὶ καὶ ἱστίοις ἡμιυφάντοις δοράτια καὶ
ἀκόντια ἐνειλημένα εἰσηνέχθη, καὶ ἐτέθη ὅπου ἕκαστα
συνέφερεν ἀνυπόπτως· ἐν δ' ἀγγεσιν ἀχύρων καὶ ἐρίων
πέλται καὶ μικρὰ ἀσπίδια ἐν τοῖς ἐρίοις καὶ ἀχύροις κε-
κρυμμένα, καὶ ἄλλα εὐογκότερα ἐν σαργάναις ἀσταφίδος 20
καὶ σύκων πλήρεσιν, ἐγχειρίδια δὲ ἐν ἀμφορεῦσι πυρῶν
7 *καὶ ἰσχάδων καὶ ἐλαῶν. εἰσηνέχθη δὲ ἐγχειρίδια καὶ*
ἐν σικυοῖς πέπosι γυμνά, ἐωσμένα κατὰ τοὺς πυθμένας
εἰς τὸ σπέρμα τῶν σικυῶν. ὁ δὲ τῆς ἐπιβουλῆς ἡγεμὼν

---

1. Vide Iulium Africanum c. L ‖ 2. Post *φορημάτων* in *M* est *ἐνοις ἀντικρυφαιονἐνίοισ ἤδη πόλισ καὶ ἡ ἀκρόπολισ κατελήφθη* ‖ 5. Post *ἤ* in *M* est *ἔστιν δέ οἱ προσεκτέον εἰσκομιζομένοις* | *δὲ* C: *δὲ καὶ M* | *ἕνεκεν M* ‖ 6. *συνεθελόντων* T: *συνθελόντων M* ‖ 8. *τῶν* codex Casauboni. non habet *M* ‖ 9. *εἰς τὸ μέλλον*] In *M* post *ξένοις* legitur *ἐπὶ τὸ μέλλον*. duce Iulio transposui post *συνεργοῖς* et de meo scripsi *εἰς* ‖ 10. *λινοῖ*] *λιναιοι* sine accentu *M* | *σπολάδες*] *στολίδια M*. nisi forte scribendum est *σπολάδια* | *περικεφαλαῖαι* T: *περικεφαλαῖα M*. malim *καὶ περικεφαλαῖαι καὶ κνημῖδες καὶ μάχαιραι καὶ τόξα καὶ τοξεύματα* abiecto *ὅπλα* ‖ 12. *κατεσκευασμένα M* ‖ 13. *ἅπερ M* | 14. Post *ἰδόντες* in *M* est *ὡς ἱμάτια μόνον* | *τιμήσονται M* ‖ 16. *ῥιψὶ*] *ῥιποῖς M* | *ἱστίοις* T: *ἱστοῖς M* ‖ 19. *ἀχύροις* C: *ἀχύρες M* ‖ 22. *ἐλαῶν* Meinekius: *ἐλαιῶν M* ‖ 23. *ἐωσμένα*] *ἄπεω ὦ ενα M* ‖ 24. *ὁ δὲ τῆς ἐπιβουλῆς ἡγεμών*] *ὁ δ' ἐπιβουλεύων τε καὶ ἡγεμὼν M* |

εἰσηνέχθη ἐν φρυγάνων φορήματι. νυκτὸς δὲ γενομένης 8
καὶ ἀθροισθέντων τῶν ἐπιθησομένων, ἑκάστου τηρήσαντος
τὸν καιρόν, ἐν ᾧ μάλιστα οἰνωμένοι ἦσαν οἱ ἄλλοι, πρῶ-
τον μὲν τὸ φόρημα ἐλύθη, καὶ ἐξ αὐτοῦ ὁ ἡγεμὼν ἔτοι-
μος ἦν· ἔπειτα ἄλλοι μὲν αὐτῶν τοὺς ταρσοὺς ἐξείλισ-
σον, ἕτεροι δὲ τὰ ἄγγη τῶν ἀχύρων καὶ ἐρίων ἐξεκένουν,
οἱ δὲ τὰς σαργάνας ἀνέτεμνον, ἄλλοι δὲ τὰς κιβωτοὺς
ἀνοίγοντες τὰ ὅπλα ἐξῄρουν, οἱ δὲ τοὺς ἀμφορέας συνέ-
τριβον, ἵνα ταχεῖα ἡ λῆψις τῶν ἐγχειριδίων γένοιτο.
ἅμα δὲ ταῦτα καὶ οὐ πόρρω ὄντα ἀλλήλων ἐπορσύνετο 9
ἀπὸ σημείου τοῦ ἐν τῇ πόλει καὶ ὡς φάλαγξι γινόμενον.
ὁπλισθέντες δ' ἕκαστοι τοῖς προσήκουσιν ὅπλοις οἱ μέν 10
τινες αὐτῶν ἐπὶ πύργους ὥρμησαν καὶ πύλας καθ' ἃς
καὶ τοὺς ἄλλους προσεδέχοντο, οἱ δὲ ἐπὶ τὰ ἀρχεῖα καὶ
τὰς ἐναντίας οἰκίας, οἱ δὲ ἄλλοι ἄλλων τόπων εἴχοντο.
εἰς δὲ ὁμοίαν πρᾶξιν τῇ εἰρημένῃ δεόμενοί τινες ἀσπί- 11
δων ἐπεὶ οὐδενὶ ἄλλῳ τρόπῳ ἐδύναντο ἑτοιμάσασθαι οὐδὲ
εἰσαγαγέσθαι ὅπλα, οἰσοιῶν καὶ ἐργάτας ἅμα οὕτως
εἰσηγάγοντο. καὶ ἐν μὲν τῷ φανερῷ ἄλλα ἀγγεῖα ἔπλε- 12
κον, ἐν δὲ ταῖς νυξὶν ἀσπίδας, αἷς ὄχανα προσετίθεσαν
σκύτινα καὶ ξύλινα. ἀλλὰ μὴν οὐδὲ τῶν κατὰ θάλατταν
προσορμιζομένων πλοίων νυκτὸς καὶ ἡμέρας οὔτε μεγά-
λων οὔτε μικρῶν ἀδιασκέπτως ἔχειν, ἀλλὰ ἐμβαίνοντας
τοὺς λιμενοφύλακάς τε καὶ ἀποστολέας ἰδεῖν αὐτοὺς τὰ

---

1. εἰσηνέχθη Mommsenus: ἔξωθεν εἰσηνέχθη *M* ‖ 2. ἑκάστου—πρῶ-
τον] ἕκαστος ὃν ἔδει τηρήσαντες καιρὸν ἐν ᾧ μάλιστα οινωμένοι (sic)
ἦσαν οἱ ἄλλοι κατὰ τὴν πόλιν οἱ δὲ ἐν ἑορτῃ πρῶτον *M* ‖ 5. ἐξείλισσον
Meinekius: ἐξέλισσον *M* | Post ἐξείλισσον in *M* additur πρὸς τὰς λήψεις
τῶν δοράτων καὶ ἀκοντίων ‖ 6. ἕτεροι Meinekius: ἕτερος *M* | ἐξεκένουν
inserui ‖ 7. ἀνέτεμον *M* ‖ 13. ὥρμησαν] ὥρμησαν καταλαβεῖν *M* ‖ 14.
τοὺς ex Iulio Africano accessit ‖ 15. ἐναντίας] Fortasse τῶν ἐναντίων | οἱ δὲ
ἄλλοι] Malim ἄλλοι δέ ‖ 16. εἰς δὲ ὁμοίας πράξεις τῶν εἰρημένων *M* ‖ 18.
ὅπλα suspectum | οἰσύας C | οὕτως] τούτων H ‖ 20. ἐν δὲ ταῖς νυξὶν ἀσπί-
δας Hauptius: ἐν δὲ ταῖς νυξὶν ὅπλα περικεφαλαίας καὶ ἀσπίδας ἔπλεκον
M | προσετίθεσαν Meinekius: περιετίθεσαν *M.* proxima excerpsit Iulius
Africanus c. XLIX ‖ 21. ὄχυτινα C: συκινα *M* sine accentu ‖ 24. ἰδεῖν
Iulius Africanus: εἰδέναι *M* | In *M* lemma est ΠΕΡΙ ΟΠΛΩΝ ΕΙΣΑΓΩ-
ΓΗΣ | αὐτοὺς Iulius Africanus: αὐτοῖς *M* ‖

ἀγώγιμα, ἐνθυμουμένους ὅτι καὶ Σικυώνιοι ἀμελήσαντες τῶν τοιούτων μεγάλα ἐσφάλησαν.

30 Προνοεῖν δὲ καὶ τὰ ἐπὶ πράσει εἰσαγόμενα καὶ εἰς τὴν ἀγορὰν ἐκτιθέμενα ὅπλα τά τε ἐπὶ τῶν καπηλείων καὶ παντοπωλείων, ὅπως μηδενὶ ἕτοιμα ᾖ τῶν βουλομέ- 5
2 νων νεωτερίζειν· εὔηθες γὰρ τῶν μὲν ἀφικνουμένων ἀνδρῶν παραιρεῖσθαι τὰ ὅπλα, ἐν δὲ τῇ ἀγορᾷ καὶ ταῖς συνοικίαις ὑπάρχειν σωράκους τε ἀσπιδίων καὶ ἐγχειριδίων κιβώτια * *.

31 Ἐπιστολῶν δὲ κρυφαίων παντοῖαι μέν εἰσι πέμψεις, 10
2 αἳ δὲ μάλιστα λανθάνουσαι τοιαίδε ἂν εἶεν. εἰς φορτία ἢ ἄλλα σκεύη ἐνεβλήθη βιβλίον ἢ ἄλλο τι γράμμα τὸ τυχὸν καὶ μεγέθει καὶ παλαιότητι. ἐν τούτῳ δὲ ἐγέγραπτο ἡ ἐπιστολὴ ἐπιστιζομένων γραμμάτων ἢ δευτέρου ἢ τρίτου, ἐπιστιγμαῖς δὲ ἐλαχίσταις καὶ ἀδηλοτάταις. εἶτα 15
ἀφικομένου τοῦ βιβλίου παρ᾽ ὃν ἔδει, ἐξεγράφετο καὶ τα ἐπισεσημασμένα γράμματα τιθεὶς ἐφεξῆς τὰ ἐκ τοῦ πρώτου στίχου καὶ δευτέρου καὶ τὰ ἄλλα ὡσαύτως, ἐγνώριζε
3 τὰ ἐπισταλέντα. ὀλίγα δ᾽ ἂν τις θέλων ἐπιστεῖλαι καὶ τόδε ποιήσειε παρόμοιον τούτῳ. ἐπιστολὴν γράψαντα 20
περί τινων φανερῶς ἐν πλείοσιν ἐν ταύτῃ τῇ ἐπιστολῇ τὸ αὐτὸ ποιεῖν ἐπισημαινόμενον γράμματα, δι᾽ ὧν ἐμφανιεῖς ἅπερ ἂν βούλῃ. τὴν δὲ ἐπισημασίαν εἶναι ὡς

---

5. Post *παντοπωλείων* expunxi *ἀθροισθέντων πλῆθός τι γένοιτο* | *μηδενὶ* vulgo: *μηθενὶ M* ‖ 7. *συνοικίαις*] *συνοικίαις ἀθρόα M* ‖ 8. *σωράκους* C: *συρακους* sine accentu *M* ‖ 9. Post *κιβώτια* in *M* est *διὸ δεῖ τὰ εἰσαφικνούμενά τε καὶ ἠθροισμένα μὴ ἐκφέρεσθαί τε εἰς τὴν ἀγορὰν καὶ νυκτερεύειν ὅπου ἂν τύχῃ ἀλλὰ πλὴν δείγματος τὸ ἄλλο* (*ἄλλη πλὴν δείγματος ὅσον δ᾽ ἄλλη* C) *πλῆθος ἐκτίθοιτό τις εἶναι δημοσία κρίνειν* ‖ 10. In *M* lemma est *ΠΕΡΙ ΕΠΙΣΤΟΛΩΝ ΚΡΥΦΑΙΩΝ* | *ἐπιστολῶν – πέμψεις*] *περὶ δὲ ἐπιστολῶν κρυφαίων παντοῖαι μέν εἰσιν αἱ πέμψεις προσυγκεῖσθαι δὲ τῷ πέμψαντι καὶ δεχομένῳ ἰδίᾳ M* ‖ 11. *αἱ δὲ – εἶεν*] *αἱ δὲ λανθάνουσαι μάλιστα τοιαῖδε* (sic) *ἂν εἶεν ἐπέμφθη ἐπιστολὴ ὧδε M* ‖ 12. *βιβλίον* codex Casauboni: *βυβλίον M* | *γράμμα* Meinekius: *δράμα M* ‖ 15. Malim *ἐπιστιγμαῖς δὲ ὡς ἐλαχίσταις καὶ ἀδηλοτάταις* | Post *ἀδηλοτάταις* in scriptis est *πλὴν τῷ πεμπομένῳ* ‖ 16. *βιβλίου* codex Casauboni: *βυβλίου M* | *ἔδει* H: *δεῖ M* ‖ 18. *ὡς αὕτως M* ‖ 20. *τόδε*] *ὧδε M* | *ποιῆσαι M* | *γράψαντα* T: *γράψας M* ‖ 22. *γράμματα δι᾽ ὧν ἐμφανιεῖς ἅπερ ἂν βούλῃ* Kirchhoffius: *γράμματα δὲ ὅτε ἐμφανῆ ὥσπερ ἐν βούλλη* (sic) *M* ‖

ἀδηλοτάτην. * * πεμπέσθω ἀνὴρ ἀγγελίαν φέρων τινα 4
ἢ καὶ ἐπιστολὴν περὶ ἄλλων φανερῶς. μέλλοντος δὲ
πορεύεσθαι κρύφα αὐτοῦ εἰς τὸ τῶν ὑποδημάτων πέλμα
ἐντεθήτω βιβλίον καὶ ἐγκαταρραπτέσθω, πρὸς δὲ τοὺς
πηλοὺς καὶ τὰ ὕδατα εἰς κασσιτέρου ἐλασμὸν λεπτὸν
γραφέσθω· ἀφικομένου δὲ παρ' ὃν δεῖ, καὶ ἀναπαυο-
μένου ἐν τῇ νυκτί, ἀναλυέτω τὰς ῥαφὰς τῶν ὑποδημάτων,
καὶ ἐξελὼν καὶ ἀναγνοὺς καὶ ἄλλα γράψας καὶ λάθρᾳ
ἔτι καθεύδοντος ἐγκαταρράψας ἀποστελλέτω τὸν ἄνδρα,
ἀντεπιστείλας φανερῶς. οὕτως οὖν οὔτε ἄλλος οὔτε ὃ 5
φέρων εἰδήσει· χρὴ δὲ τὰς ῥαφὰς τῶν ὑποδημάτων ὡς
ἀδηλοτάτας ποιεῖν. εἰς Ἔφεσον δ' εἰσεκομίσθη γράμματα 6
τρόπῳ τοιῷδε. ἄνθρωπος ἐπέμφθη ἐπιστολὴν ἔχων ἐν
φύλλοις γεγραμμένην, τὰ δὲ φύλλα ὡς ἐφ' ἕλκει κατα-
δεδεμένα ἦν ἐπὶ κνήμην. εἰσενεχθείη δ' ἂν γραφὴ καὶ 7
ἐν τοῖς τῶν γυναικῶν ὡσὶν ἔχουσιν ἀντ' ἐνωτίων ἐλασμοὺς
λεπτοὺς μολιβδίνους. ἐκομίσθη δὲ ἐπιστολὴ περὶ προ- 8
δοσίας εἰς στρατόπεδον ἀντικαθήμενον ὑπὸ τοῦ προ-
διδόντος ὧδε. τῶν ἐξιόντων ἱππέων ἐκ τῆς πόλεως εἰς
προνομὴν ἑνὶ ἐγκατερράφη ὑπὸ τὰ πτερύγια τοῦ θώρα-
κος βιβλίον, ἐν ᾧ ἐντέταλτο, ἐάν τις ἐπιφάνεια τῶν
πολεμίων γένηται, πεσεῖν ἀπὸ τοῦ ἵππου ὡς ἄκοντα καὶ
ζωγρηθῆναι. καὶ γενομένου δ' ἐν τῷ στρατοπέδῳ ἀπο-
δοθῆναι τὸ βιβλίον ᾧ δεῖ. ὑπηρέτησε δὲ ἀδελφὸς ἀδελ- 9

---

1. ἀδηλοτάτην H: ἀδηλωτάτην *M*. post hanc vocem in *M* est ἐπιστιγμαῖς διὰ πολλοῦ ἢ γραμμαῖς παραμήκεσιν ἃ τοῖς μὲν ἄλλοις μηδεμίαν ὑπόνοιαν ἕξει τῷ δὲ πεμπομένῳ γνωστὴ ἔσται ἡ ἐπιστολή || 2. φανερῶς T: φανερῶν *M* | μέλλοντος δὲ] τοῦ δὲ μέλλοντος *M* || 3. κρυφαίως *M* || 4. Post ἐντεθήτω in *M* est εἰς τὸ μεταξὺ | βιβλίον codex Casauboni: βυβλίον *M* | καταρραπτέσθω *M* || 5. εἰς κασσίτερον ἠλασμένον λεπτὸν *M* || 6. Post γραφέσθω in *M* est πρὸς τὸ μὴ ἀφανίζεσθαι ὑπὸ τῶν ὑδάτων τὰ γράμματα || 8. καὶ ἄλλα γράψας καὶ T: ἄλλα γράψας *M* || 9. ἐγκαταρράψας T: καὶ ἐγκαταρράψας *M* || 10. ἀντεπιστείλας T: ἀνταποστείλας Iulius Africanus, ἀποστείλας *M*. Post hanc vocem in *M* legitur καὶ δούς τε (sic) φέρειν || 13. ἐν addidit H || 14. ὡς addidi || 16. ἔχουσιν T: ἐχούσαις *M* | ἐλασμοὺς λεπτοὺς μολιβδίνους] ἐνειλημένοις λεπτοῖς μολιβδίνοις *M* || 17. δὲ] Ita *M*. δὲ καὶ codex Casauboni et impressi || 18. Post ἀντικαθήμενον in *M* est πολέμιον || 19. Post εἰς προνομὴν in *M* est τῶν πολεμίων || 24. βιβλίον

φῷ. ἄλλος δὲ ἵππέα ἐκπέμπων εἰς τὴν ἡνίαν τοῦ χα-
10 λινοῦ βιβλίον ἐνέρραψεν. κομίζεται δὲ καὶ ὧδε. κύστιν
ἰσομεγέθη ληκύθῳ φυσήσας καὶ ἀποδήσας σφόδρα ξηρα-
νεῖς, ἔπειτα εἰς αὐτὴν γράψεις ὅ τι ἂν βούλῃ μέλανι
11 κατακόλλῳ. ξηρανθέντων δὲ τῶν γραμμάτων ἔξελε τὴν 5
πνοὴν τῆς κύστιδος καὶ συμπιέσας εἰς τὴν λήκυθον ἔν-
θες· τὸ δὲ στόμα τῆς κύστιδος ὑπερεχέτω τοῦ στόματος
12 τῆς ληκύθου. ἔπειτα φυσήσας τὴν κύστιν, ἵνα διευρυνθῇ
ὡς μάλιστα, καὶ ἐλαίου ἐμπλήσας περιτεμεῖς τῆς κύστι-
δος τὸ ὑπερέχον τῆς ληκύθου καὶ προσαρμόσεις τῷ στό- 10
ματι ὡς ἀδηλότατα, καὶ βύσας τὴν λήκυθον κομιεῖς
φανερῶς. διαφανές τε οὖν τὸ ἔλαιον ἔσται ἐν τῇ ληκύ-
13 θῳ, καὶ οὐδὲν ἄλλο φανεῖται ἐνόν. ὅταν δὲ ἔλθῃ παρ'
ὃν δεῖ, ἐξεράσας τὸ ἔλαιον ἀναγνώσεται, καὶ φυσήσας

---

vulgo: *βυβλίον M* | ῷ Casaubonus: *ὡς M* | *ὑπηρέτησε δὲ ἱππεὺς ἀδελφὸς ἀδελφῷ* Kirchhoffius, quod reiecto *ἱππεύς* suscepi. *ὑπηρέτησεν δὲ ἱππεὺς ἀδελφὸς ἀδελφόν M* || 2. *βιβλίον* vulgo: *βυβλίον M* | *ἐνέρραψεν* C: *ἐνέγραψεν M.* post hanc vocem in eodem leguntur haec, *ἐγένετο δὲ περὶ ἐπιστολὴν* (*καὶ* addunt T) *τοιόνδε. πόλεως γὰρ πολιορκουμένης ἐπεὶ παρῆλθεν ἔσω τῆς πόλεως ὁ κομίζων τὰς ἐπιστολὰς τῷ μὲν προδιδόντι καὶ προσέφερεν οὐκ ἀποδίδωσιν πρὸς δὲ τὸν ἄρχοντα τῆς πόλεως ἦλθεν μηνύων καὶ* (ᾧ pro *καὶ* C, ᾧ *καὶ* T) *τὰς ἐπιστολὰς ἐδίδου ὁ δ' ἀκούσας ἐκέλευεν ταύτας μὲν τὰς ἐπιστολὰς οἷς ἔφερεν ἀποδοῦναι τὰ* (*τὰς* C) *δὲ παρ' ἐκείνων εἰ ἀληθές τι μηνύει παρ' αὐτὸν ἐνεγκεῖν καὶ ὁ μηνύων ταῦτ' ἔπραξεν. ὁ δὲ ἄρχων λαβὼν τὰς ἐπιστολὰς καὶ ἀνακαλεσάμενος τοὺς ἀνθρώπους τὰ σημεῖά τε ἐδείκνυεν τῶν δακτυλίων ἅπερ ὡμολόγουν αὐτὸν* (*αὐτῶν* Orellius, *αὐτῶν* T) *εἶναι καὶ λύων τὰ βιβλία ἐδήλου τὸ πρᾶγμα. τεχνικῶς δὲ δοκεῖ φωράσαι ὅτι τὰς πεμπομένας παρὰ τοῦ ἀνθρώπου οτι καὶ ἔλαβεν* (*οὐκ ἔλαβεν* C, *οὐ κατέλαβε* T) *ἦν γὰρ αὐτοῖς ἀρνηθῆναι καὶ φάσκειν ἐπιβουλεύεσθαι ὑπό τινος τὰς δ' ἀνταποστελλομένας λαβὼν ἂν ἀντιλεπτως* (sic) (Casauboni codex *ἀναντιλέκτως*) *ἤλεγξεν* | *κομίζεται δὲ καὶ ὧδε*] Malim *κομίζεται δὲ ἐπιστολὴ καὶ ὧδε.* proximorum verborum syntaxin indiligentia librariorum fecit duplicem, et rectam et obliquam. restitui rectam, obliquam fecerunt Turicenses || 3. Post *ληκύθῳ* expunxi *ὁπόση ἀντιβούλει πρὸς τὸ πλῆθος τῶν γραφησομένων* | *φυσήσαντα καὶ ἀποδήσαντα* T | *ξηρᾶναι M* || 4. *εἰς αὐτήν*] *ἐπ' αὐτῆς M* | *γράψαι M* | *βούλῃ* H: *βούλει M* || 5. *ἐξελεῖν* T || 6. *συμπιέσας* Casauboniana: *συμπιέσαντας M. συμπιέσαντα* T | *τὴν* adieci | *ἔνθες*] *ἐνθεῖναι M* || 7. *στόματος* T: *πώματος M* || 8. *φυσήσαντα* T | *τὴν κύστιν*] *τὴν κύστιν ἐν τῇ ληκύθῳ ἐνοῦσαν M* | *διευρυνθῇ* Orellius: *διερυνθῇ M* || 9. *καὶ* addiderunt T | *ἐμπλήσαντα περιτεμεῖν M* || 10. *προσαρμόσαι M* || 11. *βύσαντα M* | *κομίζειν M* || 14. *καὶ* addidi ante *φυσήσας* ||

τὴν κύστιν καὶ ἐκσπογγίσας καὶ κατὰ ταὐτὰ εἰς αὐτὴν
γράψας ἀποστελλέτω. ἤδη δέ τις ἐν δέλτου ξύλῳ γράψας 14
κηρὸν ἐπέτηξε, καὶ ἄλλα εἰς τὸν κηρὸν ἐνέγραψεν. εἶτα
ὅτε ἦλθε παρ᾽ ὃν ἔδει, ἐκκνήσας τὸν κηρὸν καὶ ἀναγνοὺς
ὁμοτρόπως ἀντεπέστειλεν. γράφοις δ᾽ ἂν καὶ εἰς πινά- 15
κιον ἡρωϊκὸν ἅπερ ἂν βούλῃ. ἔπειτα καταλευκῶσαι καὶ
ξηράναντα γράψαι ἱππέα φωσφόρον ἢ ὅ τι ἂν βούλῃ,
ἱματισμὸν λευκὸν καὶ τὸν ἵππον λευκόν· εἰ δὲ μή, καὶ
ἄλλῳ χρώματι, πλὴν μέλανος. ἔπειτα δοῦναί τινι ἀνα-
θεῖναι ἐγγὺς τῆς πόλεως εἰς ὃ ἐὰν τύχῃ ἱερὸν ὡς εὐξό- 16
μενος. ὃν δὲ δεῖ ἀναγνῶναι τὰ γεγραμμένα, χρὴ ἐλθόντα
εἰς τὸ ἱερὸν καὶ γνόντα τὸ πινάκιον συσσήμῳ τινὶ προ-
συγκειμένῳ, ἀπενέγκαντα εἰς οἶκον θεῖναι εἰς ἔλαιον.
πάντα οὖν τὰ γεγραμμένα φανεῖται. πέμψις δὲ πασῶν
μὲν ἀδηλοτάτη πραγματωδεστάτη· δὲ νῦν μοι ἐμφα-
νισθήσεται· ἔστι δὲ τοιάδε. εἰς ἀστράγαλον εὐμεγέθη 17
τρυπῆσαι τρυπήματα εἴκοσι καὶ τέτταρα, ἓξ εἰς ἑκάστην
πλευρὰν τοῦ ἀστραγάλου· ἔστω δὲ τὰ τρυπήματα τοῦ
ἀστραγάλου τὰ στοιχεῖα. διαμνημόνευε δὲ ἀφ᾽ ἧς ἂν
πλευρᾶς ἄρξηται τὸ ἄλφα, καὶ τὰ ἐχόμενα ἅπερ ἐν
ἑκάστῃ γέγραπται. μετὰ δὲ ταῦτα, ὅταν τινὰ θέ-

---

1. εἰς τὴν αὐτὴν *M* || 2. Proxima excerpsit Iulius Africanus c. LIII | τις C: τινες *M* | ἐν δέλτῳ ἐνξύλῳ *M*. cf. Herodot. VII 239 || 3. ἐπέτηξε C et Valckenarius: ἐπέθηκε *M* || 4. ὅτε ἦλθε Iulius Africanus: ὅταν ἔλθῃ *M* | ἔδει H: δεῖ *M* | ἐκκνήσας T: ἐκκνίσας *M* | 5. ὁμοτρόπως ἀντεπέστειλεν] γράψας πάλιν ὡσαύτως ἀπέστειλεν *M*, Iulius Africanus ὁμοιοτρόπως ἀνταπέστειλεν | Post ἀπέστειλεν in *M* est λέγεται δὲ καὶ εἰς πυξίον γράψαντα μέλανι ὡς βελτίστῳ ἐᾶν ξηρανθῆναι ἔπειτα λευκώσαντα ἀφανίζειν τὰ γράμματα. ὅταν οὖν ἀφίκηται παρὰ τὸν πεμπόμενον, λαβόντα εἰς ὕδωρ θεῖναι τὸ πυξίον. φανεῖται οὖν ἐν τῷ ὕδατι ἀκριβῶς πάντα τὰ γεγραμμένα | γράφοιτο *M* || 6. βούλῃ H: βούλει *M* || 7. βούλῃ H: βούλει *M* || 10. εἰς ὃ ἐὰν εὐξόμενος] Ita *M*. malim εἰς ἱερὸν ὃ ἂν τύχῃς συνταξάμενος || 11. ὃν Meinekius: ὅσον *M* || 14. πέμψις δὲ πασῶν μὲν ἀδηλοτάτη πραγματωδεστάτη δὲ νῦν μοι ἐμφανισθήσεται] πασῶν δὲ ἀδηλοτάτη πέμψις πραγματωδεστάτη δὲ νῦν μοι διὰ γραμμάτων ἐμφανισθήσεται *M* || 16. εἰς inseruerunt T || 17. τρυπήματα inserui ex Iulio Africano || 19. τὰ στοιχεῖα. διαμνημόνευε δὲ T: στοιχεῖα διαμνημόνευε δὲ Iulius Africanus. in *M* nihil est praeter δ || 20. ἄρξηται Iulius Africanus: ἄρξῃ *M*. malim ἀφ᾽ ἧς ἂν πλευρᾶς ἄρχηται τὸ ἄλφα ||

λης ἐν αὐτοῖς τίθεσθαι λόγον, λίνον δίειρον. ἐὰν θέλῃς *AINEIAN* δηλοῦν τῇ διέρσει τοῦ λίνου, ἀρξάμενος ἐκ τῆς πλευρᾶς τοῦ ἀστραγάλου ἐν ᾗ τὸ ἄλφα ἐστί, παρελθὼν τὰ ἐχόμενα τούτου γράμματα, ὅταν ἔλθῃς εἰς τὴν πλευρὰν οὗ τὸ ἰῶτά ἐστι, δίειρον πάλιν, παρεὶς δὲ τούτου τὰ ἐχόμενα, ὅπου συμβαίνει τὸ ν̄ εἶναι, δίειρον καὶ πάλιν παρεὶς τὰ ἐχόμενα τούτου, ὅπου τὸ εῑ ἐστί, δίειρον τὸ λίνον, καὶ οὕτω τὰ ἐπίλοιπα τοῦ λόγου ἀντιγράφων ἔνειρον εἰς τὰ τρυπήματα, ἕως
19 ἂν περάνῃς τὸ ὄνομα. ἔσται οὖν περὶ τὸν ἀστράγαλον ἀγαθὶς λίνου πεποιημένη, δεήσει δὲ τὸν ἀναγιγνώσκοντα ἀναγράφεσθαι εἰς δέλτον τὰ δηλούμενα γράμματα ἐκ τῶν τρυπημάτων. ἀνάπαλιν δὲ γίγνεται ἡ ἐξαίρεσις τῇ ἐνέρσει. διαφέρει δὲ οὐδὲν τὰ γράμματα ἀνάπαλιν γραφῆναι εἰς τὴν δέλτον· οὐδὲν γὰρ ἧττον ἀναγνωσθήσεται. καταμαθεῖν δὲ πλεῖον ἔργον ἐστὶ τὰ γεγραμμένα ἢ τὸ
20 ἔργον αὐτὸ γενέσθαι. εὐχερέστερον δ' ἂν ταύτῃ γίγνοιτο. ξύλου ὡς σπιθαμιαίου τρυπηθέντος ὅσα γε τὰ στοιχεῖα τῶν γραμμάτων, ἔπειτα ὡσαύτως ἐνείρειν τὸ λίνον εἰς τὰ τρυπήματα. ὅταν δ' εἰς τὸ αὐτὸ τρύπημα συμβῇ δὶς ἐνείρεσθαι, ὥστε τὸ αὐτὸ γράμμα δὶς ἐφεξῆς γράφεσθαι,
21 προπεριελίξαντα τὸ λίνον περὶ τὸ ξύλον ἐνεῖραι. γίγνοιτο

---

1. *λίνον* T: *λίνω M* | *δίειρον*] *δϊαιρεῖν M.* post *δίειρον* hiat oratio. *οἷον* supplent Turicenses || 2. *θέλῃς AINEIAN*] *ελ̣ῆδινηαλ̣ι̣* | (sic) *M. θέλῃς* Orellius, *AINEIAΣ* Haasius. feci *AINEIAN* | *τῇ* T: *ἐν τῇ M* | *διέρσει* C: *διαιρέσει M* || 4. *τούτων M* | *γράμματα* Iulius Africanus: *παραγράμματα M* | *ἔλθῃς* Iulius Africanus: *ἔλθῃ M* || 5. *τὴν* addidi | *οὗ τὸ ἰῶτα* Iulius Africanus: *ὀυτο τω τα M* | *δίειρον M* || 6. *τὸ ν̄ εἶναι* Orellius: *τονε̣ῖναι M* | *δίειρον* accessit ex Iulio Africano || 8. *τὸ* addiderunt T | *εῑ ἐστι* Haasius: *ἔνεστιν M* | *διεῖρον M* || 9. *τοῦ λόγου ἀντιγράφων*] lta *M* | *ἔνειρε M* | *ἕως ἂν περάνῃς τὸ ὄνομα*] *ὥσπερ αρτ̣ι̣αιμ̣ε̣θα ὄνομα M* || 11. *πεποιημένη*] *πεμπομένη M* | *δεήσει* H: *δεήσεται M* | *τὸν* accessit ex Iulio Africano | *ἀναγινώσκοντα M* || 13. *γίνεται M* | *ἐξαίρεσις* C: *ἐξίεσις M* || 14. *ἐνέρσει* C: *ἐνέρξει M* || 15. *τὴν* adieci | *γνωσθήσεται M* || 16. *πλεῖον* C. Orellius: *πλεῖστον M* || 17. *εὐχερέστερον*] *εὐπρεπέστερον M* | *ταύτῃ*] *τοῦτο M* | *γίνοιτο M* || 18. *σπιθαμιαίου* codex Casauboni: *σπιθαμαίου M* | *γε* C: *τε M* || 20. *ὅταν δ'*] *ὅπου δ' ἂν M* | 21. *ὥστε*] *ὥσπερ M* || 22. *ἐνείρειν M* | *γίνοιτο M* ||

δ' ἂν καὶ ᾠδε. ἀντὶ τοῦ ἀστραγάλου καὶ ξύλου ποιῆσαι κύκλον ξύλινον καὶ λεᾶναι, καὶ τρυπῆσαι ἐφεξῆς κύκλῳ τὰ στοιχεῖα τῶν γραμμάτων τὰ τέτταρα καὶ εἴκοσι, ὑποψίας δ' ἕνεκα καὶ ἄλλα ἐν μέσῳ τοῦ κύκλου τρυπῆσαι, ἔπειτα οὕτω εἰς τὰ στοιχεῖα ἐφεξῆς ὄντα τὸ λίνον ἐνεῖραι. ὅταν δὲ δὶς τὸ αὐτὸ γράμμα 22 συμβῇ γράφεσθαι, ἐκ τῶν ἐν μέσῳ τρυπημάτων προενείραντα εἰς τὸ αὐτὸ γράμμα ἐνεῖραι· γράμμα δὲ λέγω τὸ τρύπημα. ἤδη δέ τινες εἰς βιβλίον γράψαντες ὡς 23 λεπτότατον μακροὺς στίχους καὶ λεπτὰ γράμματα, ἵν' ὡς εὐογκοτάτη γένηται ἡ ἐπιστολή, εἶτα ἐπὶ τῷ ὤμῳ τοῦ χιτῶνος ὑποθέντες καὶ ἀποπτύξαντες τοῦ χιτωνίσκου ἐπὶ τῷ ὤμῳ ἀνύποπτος δὴ δοκεῖ εἶναι ἡ κομιδὴ τῆς ἐπιστολῆς καὶ ἐνδεδυκότος τινὸς τὸν χιτωνίσκον καὶ οὕτω φερομένου. μαρτύριον δὲ ὅτι τὰ εἰσ- 24 πεμπόμενα μετὰ ἐπιβουλῆς χαλεπὸν φυλάξαι. οἱ γοῦν περὶ Ἴλιον ἄνθρωποι ἐκ τοσούτου χρόνου καὶ οὕτω διατεταμένοι οὔπω δύνανται φυλάξαι μὴ εἰσελθεῖν αὐτοῖς τὰς Λοκρίδας, ἀλλ' ὀλίγοι προσέχοντες τῷ λαθεῖν, λανθάνουσιν ἀνέτεα πολλὰ εἰσάγοντες σώματα. παρὰ δὲ 25 τοῖς παλαιτέροις καὶ τοιόνδε ποτὲ ἐτεχνάσθη. Ποτίδαιαν γὰρ θέλων προδοῦναι Τιμόξενος Ἀρταβάζῳ προσυνέθεντο ἀλλήλοις ὃ μὲν τῆς πόλεώς τι χωρίον ὃ δὲ τοῦ στρατοπέ-

---

1. *ποιήσας M* || 2. *καὶ* addidi post *ξύλινον* | *τρυπῆσαι*] *τρῆσαι M* || 3. *τὰ* ante *τέτταρα* in *M* desideratur. addidit ex codice suo Casaubonus || 4. *ἔνεκεν M* || 6. *ἐνείρειν M*|| 7. *συμβῇ*] *συμβαίνει M* | *γράφεσθαι*] *γράφειν M* | *ἐκ τῶν*] *εἴς τι τῶν* H | *προενείροντα M* || 8. *γράμμα δὲ*] *γράμματα δὲ M* || 9. *εἰς* Iulius Africanus c. LIII: *εἰς τὸ M* || 11. *γένηται* idem: *γίνηται M*. proxima ita constituit Hauptius, *εἶτα ἐπὶ τῇ ὦᾳ τοῦ χιτῶνος ἐπιθέντες καὶ ἐπιπτύξαντες τοῦ χιτωνίσκου τὴν ὦαν, ἀνύποπτος δὴ δοκεῖ εἶναι ἡ κομιδὴ τῆς ἐπιστολῆς, καὶ ἐνδεδυκότος τινὸς τὸν χιτωνίσκον καὶ οὕτω φερομένου.* malim *εἶτα ἐπὶ ὦας χιτωνίσκου ἐπιθέντες καὶ ἐπιπτύξαντες τοῦ χιτωνίσκου τὴν ὦαν ἀνύποπτον ἐποίησαν τὴν κομιδὴν τῆς ἐπιστολῆς.* reliqua interpolatorem spirant || 17. inter *Ἴλιον* et *ἄνθρωποι* in *M* spatium quatuor fere literarum est | *ἴλιον M* | *ἄνθρωποι ἐκ* codex Casauboni: *ἄνθρωποι καὶ ἐκ* (sic) *M* | *διατεταμένοι* H: *διατεταγμένοι M* || 19. Post *Λοκρίδας* in *M* est *καίτοι τοσοῦτόν ἐστιν αὐτοῖς ἡ σπουδὴ καὶ ἡ φυλακή* || 21. *παλαιοτέροις M* | *Ποτίδαιαν*] Herodotus VIII 128 ||

26 δου. εἰς ὅπερ ἐτόξευον ὅ τι ἄν τι ἤθελον ἀλλήλοις ἐμ-
φανίσαι αζἔτο δὲ τοῦ τοξεύματος περὶ τὰς γλυφίδας ἐλί-
ξαντες τὸ βιβλίον καὶ πτερώσαντες ἐτόξευον εἰς τὰ
27 προσυγκείμενα χωρία. ἐγένετο δὲ καταφανὴς ὁ Τιμόξε-
νος προδιδοὺς τὴν Ποτίδαιαν· τοξεύων γὰρ ὁ Ἀρτάβαζος 5
εἰς τὸ προσυγκείμενον, ἁμαρτὼν τοῦ χωρίου διὰ πνεῦμα
καὶ φαύλην πτέρωσιν, βάλλει ἀνδρὸς Ποτιδαιάτου τὸν
ὦμον, τὸν δὲ βληθέντα περιέδραμεν ὄχλος, οἷα φιλεῖ
γίγνεσθαι ἐν πολέμῳ· αὐτίκα δὲ τὸ τόξευμα λαβόντες
ἔφερον ἐπὶ τοὺς στρατηγούς, καὶ οὕτως καταφανὴς ἐγέ- 10
28 νετο ἡ πρᾶξις. Ἱστιαῖος δὲ βουλόμενος τῷ Ἀρισταγόρᾳ
σημῆναι ἀποστῆναι, ἄλλως μὲν οὐδαμῶς εἶχεν ἀσφαλῶς
δηλῶσαι, ἅτε φυλασσομένων τῶν ὁδῶν καὶ οὐκ εὔπορον
ὂν γράμματα λαθεῖν φέροντα, τῶν δὲ δούλων τὸν πιστό-
τατον ἀποξυρήσας ἔστιξε, καὶ ἐπεῖχεν ἕως ἀνέφυσαν αἱ 15
29 τρίχες. ὡς δὲ ἀνέφυσαν τάχιστα, ἔπεμπεν εἰς Μίλητον,
ἐπιστείλας τῷ ἐπεστιγμένῳ ἄλλο μὲν οὐδέν, ἐπειδὰν δ᾽
ἀφίκηται εἰς Μίλητον πρὸς Ἀρισταγόραν, κελεύειν ξυρή-
σαντα κατιδεῖν εἰς τὴν κεφαλήν. τὰ δὲ στίγματα ἐσή-
30 μαινεν ἃ ἔδει ποιεῖν. γράφειν δὲ καὶ ὧδε. προσυνθέ- 20
μενον τὰ φωνήεντα γράμματα ἐν κεντήμασι τίθεσθαι·
ὁπόστον δ᾽ ἂν τύχῃ ἕκαστον ὂν ἐν τοῖς γραφομένοις,
31 τοσαύτας στιγμὰς εἶναι. οἷον τόδε,

ΔΙΟΝΥΣΙΟΣ ΚΑΛΟΣ

Δ:: ::· Ν::: Σ:: ::· Σ Κ. Α::· Σ 25

ΗΡΑΚΛΕΙΔΑΣ ΗΚΕΤΩ

:.Ρ. ΚΛ.. :: Δ.: Σ:. Κ·· Τ:::·

---

2. γλυφίδας C: πύλας γλυφὰς *M* || 8. τὸν δὲ βληθέντα Herodotus: προβληθέντα *M* || 9. γίνεσθαι *M* | ἐν πολέμῳ Herodotus: ἐν τῷ πολέμῳ *M* || 11. Herodotus V 35 || 12. ἀποστῆναι ex Herodoto adiecit Casaubonus || 14. ὃν addidit Valckenarius. vide tamen ne καὶ οὐκ εὔπορον γράμματα λαθεῖν φέροντα ad interpolatorem revocanda sint | τῶν δὲ δούλων T: τῶν δούλων *M* manu secunda. fuerat τῶν δοῦλον || 15. ἐπέσχεν *M* | ἀνέφυσαν T: ἂν ἔφυσαν *M* || 16. ὡς δὲ ἀνέφυσαν addidi || 20. ἔδει] δεῖ *M* || 22. δ᾽ addidi || 23. οἷον τόδε] οἷον τε δέ τοῦτο *M* || 25. In *M* est $\overline{\Delta}\ \overline{N}\ \overline{C}\ \overline{C}\ \overline{K}\ \overline{\Delta}\ \overline{C}$ et $\overline{P}\ \overline{K}\ \overline{\Delta}\ \overline{\Delta}\ \overline{C}\ \overline{K}\ \overline{T}$. vocalium significatio in scriptis desideratur. debetur Casaubono ||

καὶ τόδε ἄλλο ἀντὶ τῶν φωνηέντων γραμμάτων τίθεσθαι τί δαὶ * * πολλοὶ δὲ ταῖς κατ᾽ Ἤπειρον κυσὶν ἐχρήσαντο ὧδε. ἀπαγαγόντες δέσμιον περιέθηκαν περὶ τὸν αὐχένα 32
ἱμάντα, ἐν ᾧ ἐπιστολὴ ἐνέρραπτο. εἶτα ἀφῆκαν νυκτὸς
ἢ μεθ᾽ ἡμέραν πρὸς ὃν ἐξ ἀνάγκης ἔμελλεν ἥξειν ὅθεν ἀπήχθη. ἔστι δὲ τοῦτο καὶ Θεσσαλόν. χρὴ δὲ τὰς παρα- 33
γιγνομένας εὐθὺς ἀνοίγειν δέλτους. Ἀστυάνακτι δὲ τυράννῳ Λαμψάκου πεμφθείσης ἐπιστολῆς, ἐν ᾗ γεγραμμένα ἦν τὰ μηνύοντα τὴν ἐπιβουλὴν ἀφ᾽ ἧς ἀνηρέθη, παρὰ τὸ μὴ εὐθὺς ἀνοῖξαι καὶ ἀναγνῶναι τὰ γεγραμμένα διεφθάρη, τὴν ἐπιστολὴν ἔχων περὶ τοὺς δακτύλους. διὰ τὴν αὐτὴν αἰτίαν καὶ ἐν Θήβαις ἡ Καδμεία κατελήφθη, τῆς 34
τε Λέσβου ἐν Μυτιλήνῃ παραπλήσια τούτοις ἐπράχθη.
* * Γλοῦς δὲ βασιλέως ναύαρχος παρὰ βασιλέα ἀναβάς, 35
ἐπεὶ οὐχ οἷόν τε ἦν ὑπομνήματα ἐν βιβλίῳ ἔχοντα εἰσιέναι παρὰ βασιλέα (ἦν δὲ αὐτῷ περὶ πολλῶν τε καὶ μεγάλων διαμνημονευτέον), ἐγράψατο εἰς τὰ διαστήματα τῆς χειρὸς τῶν δακτύλων περὶ ὧν ῥητέον ἦν αὐτῷ.

Πρὸς δὲ τὰς τῶν ἐναντίων προσαγωγὰς μηχανήμα- **32**
σιν ἢ σώμασιν ἐναντιοῦσθαι ὧδε. πρῶτον μὲν εἰς τὰ ὑπεραιρόμενα ἐκ πύργων ἢ ἱστῶν ἢ τῶν ὁμοτρόπων τούτοις οἷς προσαχθέντα ὑπεραιρατο χρη τισὶν ἀδιατμήτοις

---

1. Rectius verba *καὶ τόδε* abiecto *ἄλλο* ponentur e regione verborum *ΗΡΑΚΛΕΙΔΑΣ ΗΚΕΤΩ* || 2. Post *τί δαί* in *M* est *καὶ τάδε τὰ πεμπόμενα γράμματα εἴς τινα τόπον τῷ πεμπομένῳ δῆλον γίνεσθαι ἐλθόντος τοῦ ἀνθρώπου εἰς τὴν πόλιν καὶ πωλοῦντός τι ἢ ὠνουμένου ὅτι ἥκει αὐτῷ γράμματα καὶ κεῖται ἐν τῷ πορρηθέντι* (sic) *τόπῳ. καὶ οὕτω οὔτε ὁ φέρων οἶδεν ὅτῳ ἠνέχθη, οὔτε ὁ λαβὼν γνωστὸς ἔστι ὅτι ἔχει | πολλοὶ*] Iulius Africanus c. LIII | *ταῖς* adieci || 3. *δέσμιον* C: *δεσμὸν M* || 4. *ἐνέρραπτο* T: *ἐγέγραπτο M* | 5. *πρὸς ὃν*] Aut scribendum *ὃ δὲ* aut delendum *ὅθεν ἀπήχθη* || 6. *καὶ* addiderunt T | *Θετταλὸν* Iulius Africanus, *Θεσσαλονικὸν M* | *παραγιγνομένους M* || 7. *δὲ*] Malim *γοῦν* || 8. *τὰ* inserui || 10. Post *γεγραμμένα* expunxi *ἀλλ᾽ ἀμελήσαντος αὐτοῦ πρὸς ἄλλοις δὲ γενομένου πρότερον* || 11. Fortasse *διὰ δὲ τὴν* || 13. *Μυτιλήνῃ*] *μυτιλήνη τὰ M* || 14. Hiatum orationis significavi | *Γλοῦς* C: *πλοῦς M* || 15. *οἷόν τε*] Fortasse *ὅσιον* || 18. Post *αὐτῷ* in *M* est *περὶ τὴν τῶν τοιούτων ἐπιμέλειαν τῷ πυλωρῷ ποιητέον ὡς ἂν μηθὲν λανθάνηται εἰς τὴν πόλιν εἰσφερόμενον μήτε ὅπλον μήτε γράμματα* || 19. In *M* lemma est *ΑΝΤΙΜΗΧΑΝΗΜΑΤΑ* || 21. *ἱστῶν* C: *ἱστίων M* ||

περιβληθέντα κατατετάσθαι ὑπονεόντων, ἅμα δὲ καὶ ὑποθυμιᾶν καπνὸν πολὺν ὑφάπτειν ὡς μέγιστον πῦρ ποιοῦντα. ἀνταίρεσθαι πύργους ξυλίνους ἢ ἄλλα ὕψη ἐκ φορμῶν πληρουμένων ἄμμου ἢ ἐκ λίθων ἢ ἐκ πλίνθων. ἴσχοιεν δ' ἂν τὰ βέλη καλάμων ταρσοὶ ὀρθίως καὶ πλαγίως συντιθεμένων. ἡτοιμάσθαι δὲ καὶ τοῖς εἰς τὰ τείχη μηχανήμασιν εἰσπίπτουσι κριῷ καὶ τοῖς ὁμοτρόποις τούτῳ ἐρύματα. σάκκους ἀχύρων πληροῦντα προκρεμαννύειν καὶ ἀγγεῖα ἐρίων καὶ ἀσκοὺς βοείους νεοδάρτους πεφυσημένους ἢ πεπληρωμένους τινῶν καὶ ἄλλα τούτοις ὁμότροπα. καὶ ὅταν ἡ πύλην ἢ ἄλλο τι τοῦ τείχους διακόπτῃ, χρὴ βρόχῳ τὸ προΐσχον ἀναλαμβάνεσθαι, ἵνα μὴ δύνηται προσπίπτειν τὸ μηχάνημα. παρασκευάζεσθαι δὲ ὅπως λίθος ἁμαξοπληθὴς ἀφιέμενος ἐμπίπτῃ καὶ συντρίβῃ τὸ τρύπανον· τὸν δὲ λίθον ἀφιέσθαι ἀπὸ τῶν προωστῶν, ἐχόμενον ὑπὸ καρκίνων. ὅπως δὲ μὴ ἁμαρτάνῃ τοῦ τρυπάνου ὁ λίθος φερόμενος, κάθετον χρὴ προαφιέσθαι, καὶ ὅταν αὕτη πέσῃ ἐπὶ τὸ τρύπανον, εὐθὺς τὸν λίθον ἐπαφιέσθαι. ἄριστον δὲ πρὸς τὰ διακόπτοντα τὸ τεῖχος καὶ τόδε παρεσκευάσθαι. ᾗ ἂν κριὸς προσάγηται τῷ τείχει, ταύτῃ χρὴ ἔσωθεν ἀντιπαρασκευάζειν ἀντίκριον, διορύξαντα τὸ τεῖχος μέχρι τοῦ ἔξω μέρους τῶν πλίνθων, ἵνα μὴ προειδῶσι πρότερον οἱ πολέμιοι· ὅταν δὲ ἐγγὺς ᾖ τὸ διακόπτον, οὕτως ἔσωθεν τῷ ἀντικρίῳ παίειν. πρὸς δὲ τὰ μεγάλα μηχανήματα, ἐφ' ὧν σώματά τε πολλὰ

1. ἅμα δὲ Meinekius: ἄλλα δὲ *M* || 2. ποιοῦντα] πνέοντα *M* || 3. ἀνταίρεσθαι H: ἀνταείρεσθαι *M*. deest copula vel particula adversativa || 4. ψάμμου *M* || 5. ἴσχοιεν H: ἴσχοι *M* | ὀρθίων καὶ πλαγίων *M* || 6. συντιθεμένων] Fortasse συντεθειμένων | ἡτοιμάσθαι H: ἡτοίμασται *M* | τείχη C: χείλη *M* || 7. εἰσπίπτουσι C: εισπουσιν *M* | τούτῳ H: τούτων *M* || 8. Post ἐρύματα excidit τάδε aut ὧδε | προκρεμαννύειν C: προσκρεμαννύειν *M* | καὶ ante ἀγγεῖα addiderunt T || 10. πεπληρωμένους C: πεπληρωμένων *M* | καὶ ἄλλα] ἄλλα *M* || 12. προΐσχον C: προσίσχον *M* || 13. καὶ παρασκευάζεσθαι δὲ *M*. expunxi καί || 14. τὸ C: τὸν *M* || 15. τῶν delet Kirchhoffius || 17. καθέτην *M* || 18. εὐθὺ *M* || 20. ὅταν – τείχει] ὅταν γνῶς ᾖ| προσάγεσθαι τοῦ τείχους *M* || 22. τοῦ τείχους *M* | ἔξω] ἄλλου *M* | τῶν πλίνθων C: τὸν πλίνθον || 23. προΐδωσιν *M* || 24. Post παίειν in *M* est καὶ πολὺ ἰσχυρότερον ὁ ἀντικριὸς γίνεται ||

προσάγεται καὶ βέλη ἐξ αὐτῶν ἀφίεται ἄλλα τε καὶ καταπέλται καὶ σφενδόναι, εἰς δὲ τὰς ὀροφίνας οἰκίας καὶ πυρφόρα τοξεύματα, πρὸς δὲ ταῦτα τὰ μηχανήματα πρῶτον μὲν χρὴ τοὺς ἐν τῇ πόλει κρυφαίως ὑπορύσσειν κατὰ τὰς προσαγωγὰς τῶν μηχανημάτων, ἵνα οἱ τροχοὶ τῶν μηχανημάτων ἐμπίπτοντες δύωσιν εἰς τὰ ὑπορύγματα· ἔπειτα ἔσωθεν ἀνταίρειν ἐκ φορμῶν πληρουμένων ἄμμου ἢ ἐκ λίθων τῶν ὑπαρχόντων ἔρυμα, ὅπερ τοῦ τε μηχανήματος ὑπερέξει καὶ τὰ ἐκ τῶν ἐναντίων βέλη ἀργὰ ποιήσει. προκαλύπτεσθαι δὲ ἅμα τούτοις καὶ πυκνὰ παραπετάσματα ἢ ἱστία, ἐρύματα τῶν εἰσαφιεμένων βελῶν, ἅπερ σχήσει τε τὰ ὑπερπίπτοντα τῶν βελῶν καὶ ῥᾳδίως συλλεγήσεται, χαμαιπετὲς δὲ μηδὲν ἔσται. τὸ δὲ αὐτὸ ποιεῖν καὶ ᾗ ἂν ἄλλῃ τοῦ τείχους ὑπερπετῇ γιγνόμενα τὰ βέλη τοὺς ὑπηρετοῦντάς τε καὶ τοὺς διαπορευομένους βλάπτῃ καὶ τιτρώσκῃ. ᾗ δὲ ἂν τοῦ τείχους χελώνη προσαχθεῖσα δύνηται τὸ τεῖχος διορύξαι ἢ καταβαλεῖν, ταύτῃ χρὴ ἀντιοῦσθαι παρεσκευασμένον. πρὸς μὲν τὸ διόρυγμα πῦρ ποιεῖν πολύ, πρὸς δὲ τὸ πέσημα τοῦ τείχους τάφρον ἔσωθεν ὀρύσσειν καὶ ἅμα ἀνταίρειν τειχίον πρότερον ἢ πεσεῖν τὸ τεῖχος, ἂν μὴ ἄλλως δύνῃ κωλύειν.

Χρὴ δὲ ταῖς προσαχθείσαις χελώναις ἐπιχεῖν πίσσαν καὶ στυππεῖον καὶ θεῖον ἐπιβάλλειν, ἔπειτα φλογώ- **33**

---

5. τοῦ μηχανήματος *M* ‖ 6. δύνωσιν *M* ‖ 7. ἀνταίρειν H: ἀνταείρειν *M* | πληρουμένων C: πληρουμένου *M* ‖ 8. ψάμμου *M* | ἢ ἐκ λίθων] καὶ λίθων ἐκ *M* ‖ 10. προκαλύπτειν *M* | πυκνὰ Mommsenus: γυμνὰ *M* ‖ 13. μηδὲν] Immo οὐδέν ‖ 14. γινόμενα *M* ‖ 15. τοὺς ὑπηρετοῦντάς τε καὶ τοὺς διαπορευομένους] Malim τοὺς ὑπηρετοῦντας καὶ διακονουμένους ‖ 16. βλάπτει καὶ τιτρώσκει *M* ‖ 17. δύνηται H: δυνήσηται *M* | τὸ τεῖχος] τι τοῦ τείχους *M* ‖ 18. παρεσκευασμένον] Aut ὧδε addendum aut proximae sententiae praefigendum καί ‖ 20. Post ὀρύσσειν in *M* est ἵνα μὴ εἰσέλθωσιν | ἀνταίρειν H: ἀνταείρειν *M* | τειχίον] τειχίζοντα *M* ‖ 21. Post τεῖχος in *M* est ᾗ ὀρύσσεται *M* ‖ 22. In *M* lemma est *ΕΜΠΡΗΣΙΣ*. proxima excerpsit Iulius Africanus c. XLV | προσενεχθείσαις *M* | ἐπιχεῖν πίσσαν] Malim πίσσαν ἐπιχεῖν vel ἐπιχεῖν πίσσαν καὶ ἐπιβάλλειν στυππεῖον καὶ θεῖον | 23. στυππεῖον C: στίππυον *M* | φλογώσαντα Iulius Africanus: φλογωθέντα *M*. malim ἔπειτα φάκελον σχοίνων φλογώσαντα καὶ ἐξάψαντα ἐπαφιέναι ἐπὶ τὴν χελώνην ‖

σαντα φάκελλον καὶ ἐξάψαντα ἐπαφιέναι σχοίνῳ ἐπὶ τὴν χελώνην. * * τὰ δὲ τοιαῦτα προτεινόμενος ἀπὸ τοῦ τείχους ἐπιβάλλεται τοῖς προσαγομένοις μηχανήμασι.
2 * * πιμπράναι χρὴ ταῦτα ὧδε. παρεσκευάσθω ξύλον οἷον ὕπερον, μεγέθει δὲ πολλῷ μεῖζον. καὶ εἰς μὲν τὰ ἄκρα τοῦ ξύλου κροῦσαι σιδήρια ὀξέα, περὶ δὲ τὰ ἄλλα μέρη τοῦ ξύλου καὶ ἄνω καὶ κάτω χρῖσαι πυρὸς σκευασίας ἰσχυράς, τὸ δὲ εἶδος γενέσθω οἷον κεραυνὸς τῶν γραφομένων. τοῦτο δὲ ἀφιέσθαι χρὴ εἰς τὸ προσαγόμενον μηχάνημα οὕτως ὥστε ἐμπήγνυσθαι εἰς τὸ μηχάνημα, καὶ ἐπινεμήσεται τὸ πῦρ ἐμπαγέντος αὐτοῦ. ἔπειτ᾽
3 ἄν τινες ὦσι τῆς πόλεως ξύλινοι μόσυνες ἢ τοῦ τείχεός τι χρὴ τούτοις ὑπάρχειν πρὸς τὸ μὴ ἐμπίπρασθαι ὑπὸ
4 τῶν πολεμίων πίλους καὶ βύρσας πρὸς τὴν τάξιν. ἐὰν δὲ ἐμπρησθῶσι πύλαι, προσφέρεσθαι ξύλα καὶ ἐμβάλλοντα ὡς μέγιστον τὸ πῦρ ποιεῖν, μέχρι ἂν ταφρεύσῃς τὰ ἔσωθεν.

34 Ἐὰν δέ τινες πολέμιοι παῖ ται ἐμπιπράμεναι ἰσχυραὶ σκευασίαι πρὸς τὸ πῦρ σβεννύειν χρὴ αὐτὸ ὄξει· οὐ γὰρ ἔτι ῥᾴως ἐξάπτεται. μᾶλλον δὲ τὸ προαλείφειν·
2 τούτου γὰρ πῦρ οὐχ ἅπτεται. τοὺς δὲ κατασβεννύντας ἀπὸ τῶν ὑψηλοτέρων ἔχειν περὶ τὸ πρόσωπον ἔρυμα, ἵνα ἧσσον ὀχλῶνται προσᾳσσούσης αὐτοῖς τῆς φλογός.

---

2. Fortasse scribendum *προωθούμενα* || 4. Videtur requiri *καὶ* ante *ὧδε* et *ἐμπιπράναι* pro *πιμπράναι* | *ξύλα M* | 5. *οἷον ὕπερον μεγέθει*] *οἷόν ὑπερμεγέθη M*. correxi ex parte Orellium et Turicenses secutus | *μείζω M* || 6. *ὀξέα*] *ὀξέα καὶ μείζω M* || 7. *χρῖσαι*] *χωρὶς M* || 8. *τῶν γραφομένων* H: *τὸ γραφόμενον M* || 10. Post *μηχάνημα* in *M* est *ἐσκευασμέιον* || 11. *ἐπινεμήσεται*] *ἐπιμένειν M* || 14. *πίλους* Coraes: *πλείους M* || 15. Fortasse *ἐὰν δὲ ἐμπρησθῶσιν αἱ πύλαι*. excerpsit haec Iulius Africanus c. XLVI || 16. *ἂν*] *οὖ M* | *ταφρεύσῃς* H: *ταφρεύσῃ M* || 17. Post *ἔσωθεν* in *M* est *καὶ ἄν τι δέῃ ἐκ τῶν σοὶ συνυπαρχόντων* (*ὑπαρχόντων* Iulius Africanus) *τάχιστα εἰ δὲ μὴ ἐκ τῶν ἐγγύτατα οἰκιῶν καθαιροῦντα* || 18. In *M* lemma est *ΠΥΡΟΣ ΣΒΕΣΤΗΡΙΑ ΠΡΟΣ ΤΑ ΕΜΠΙΜΠΡΑΣΜΕΝΑ* (sic). excerpsit haec Iulius Africanus c. XXXVIII | *παῖ ται*] Ita *M*. excerpsit haec Iulius Africanus c. XXXVIII | *ἐμπιμπράμεναι M* || 19. *πρὸς*] Immo *πυρός* || 23. *προσᾳσσούσης* Meinekius: *προσαϊσσούσης M* ||

Αὐτὸν δὲ πῦρ σκευάζειν ἰσχυρὸν ὧδε, ὅπερ οὐ πάνυ **35**
τι κατασβέννυται. πίσσαν, θεῖον, στυππεῖον, μάνναν
λιβανωτοῦ, δᾳδὸς πρίσματα ἐν ἀγγείοις ἐξάψαντα προσ-
φέρειν, ἐὰν βούλῃ τῶν πολεμίων τι ἐμπρησθῆναι.

Ταῖς δὲ τῶν κλιμάκων προσθέσεσιν ἀντιοῦσθαι **36**
ὧδε. ἐὰν μὲν ὑπερέχῃ τοῦ τείχους ἡ κλῖμαξ προστε-
θεῖσα, χρή, ὅταν ἐπ᾽ ἄκρων ᾖ ὁ ἀναβαίνων, τότε ἀπῶ-
σαι τὸν ἄνδρα ἢ τὴν κλίμακα ξύλῳ δικρῷ, ἐὰν μὴ ἄλλως
κωλύειν δύνῃ διὰ τὸ ὑποτοξεύεσθαι· ἐὰν δὲ ἁρμόττῃ τῷ
τείχει ἡ κλῖμαξ, τήν τε κλίμακα οὐχ οἷόν τε ἀπωθεῖν,
τὸν ὑπερβαίνοντα χρὴ ἀπῶσαι. ἐὰν δὲ ταῦτα μὲν δοκῇ 2
εἶναι, πεποιῆσθαι χρὴ οἷον θύραν ἐκ σανίδων, ἔπειτ᾽
ἐπὰν προσφέρηται ἡ κλῖμαξ, ὑποτιθέναι τῇ κλίμακι τῇ
προσφερομένῃ· ὅταν δὲ προσίῃ ἡ κλῖμαξ πρὸς τὴν θύ-
ραν, ἐξ ἀνάγκης ὑπαχθείσης τῆς θύρας, ἡ κλῖμαξ πί-
πτει, σφονδύλου προϋποτιθεμένου, οὐδὲ προσταθῆναι
δυνήσεται.

Τοὺς δὲ ὑπορύσσοντας ὧδε κωλύειν. ἐὰν δοκῇ ὑπο- **37**
ρύσσεσθαι, ὡς βαθυτάτην ἐκτὸς χρὴ τάφρον ὀρύσσεσθαι,
ὅπως εἰς τὴν τάφρον τὸ ὑπόρυγμα ἀφίκηται καὶ οἱ ὑπο-
ρύσσοντες ὀφθῶσιν. ἐὰν δέ σοι ὑπάρχῃ, καὶ τειχίον 2
τειχίσαι εἰς αὐτὴν ὡς ἰσχυρότατον καὶ μεγίστων λίθων.
ἐὰν δὲ μὴ ὑπάρχῃ τειχίσαι λίθοις, ξύλα καὶ φορυτὸν κο-

---

1. In *M* lemma est *ΠΥΡΟΣ ΣΚΕΥΑΣΙΑ* | *οὐ πάνυ τι* Meinekius: *οὐ πάντη M* || 2. *στυππεῖον* C: *στυπεῖον M* || 3. *ἐν ἀγγείοις* COrellius: *ἐναντίως M* | *ἐξάψαντα* C: *ἐξάπτοντα M* || 4. *βούλῃ* H: *βούλει M* || 6. Addidi *ὧδε* || 7. *ὁ* abest a *M* || 9. *ἁρμόττῃ*] *ἅρτι ἀνῇ M* | *τῷ τείχει* Meierus: *τω τε σχ̣ει M* | 10. scripsi *τήν τε*] *τὴν μὲν M* | Post *οἷόν τε* inserei malim *ἢ* || 11. *τὸν*] *τὰ δέ M* | Fortasse *ἐὰν δὲ δοκῇ* reiectis *ταῦτα μὲν* et *εἶναι* || 13. *προσφέρηται* T: *προφέρηται M.* decst obiectum | *ὑποτιθέναι*] *ὑποπροτιθέιαι M* || 14. *προσίῃ*] Malim *προστεθῇ* || 16. *σφονδύλου* H: *σπονδύλου M* | *πρόυποτιθεμένου M*, supra adscripto sigma | *προστεθῆναι* Turicenses. ad absolutam sententiam nonnulla deesse videntur || 18. Proxima excerpsit Iulius Africanus c. LIV. LV | In *M* lemma est *ΥΠΟΡΥΣΣΟΝΤΩΝ ΓΝΩΣΙΣ ΚΑΙ ΚΩΛΥΣΙΣ* | *δοκῇ* codex Casauboni: *δοκῆς M* || 19. *τάφρον* codex Casauboni: *τὴν τάφρον M* || 22. *ἰσχυρότατον* Orellius: *ἰσχυροτάτην M* || 23. *λίθοις* Iulius Africanus: *λίθους M* | *ξύλα καὶ φορυτὸν*] *ξύλων φορυτὸν M* | *κομίσαι*] *κομίσαντα M* ||

2 μίσαι. ἦ δ' ἂν τὸ ὑπόρυγμα τῇ τάφρῳ προσπέσῃ, ταύτῃ ἐμβάλλοντα τὰ ξύλα καὶ τὸν φορυτὸν ἐμπρῆσαι καὶ ἅμα κατασκεπάσαι, ὅπως ὁ καπνὸς εἰς τὸ διόρυγμα πορεύηται καὶ κακῶς ποιῇ τοὺς ἐν τῷ ὀρύγματι ὄντας· ἐνδέχεται γὰρ πολλοὺς ἀπολέσθαι αὐτῶν ὑπὸ τοῦ καπνοῦ. 5
4 ἤδη δέ τινες καὶ σφῆκας καὶ μελίσσας εἰς τὸ διόρυγμα ἀφέντες ἐλυμήναντο τοὺς ἐν τῷ ὀρύγματι ὄντας. χρὴ δὲ
5 γνωρίσαντα καθ' ὅν τινα τόπον ὑπορύσσουσιν, ἀνθυπορύσσειν καὶ ἀντιοῦσθαι καὶ ἐμπιπράναι τοὺς ἐν τῷ
6 ὀρύγματι ὄντας. παλαιὸν δέ τι λέγεται Ἄμασιν Βαρκαίους 10 πολιορκοῦντα ἐπιχειρεῖν ὀρύσσειν· οἱ δὲ Βαρκαῖοι αἰσθόμενοι τὸ ἐπιχείρημα τοῦ Ἀμάσιδος, ἠποροῦντο μὴ λάθῃ ἢ φθάσῃ. ἔπειτα ἀνὴρ χαλκεὺς ἀνεῦρεν ἐνθυμήσας. ἀσπίδος χάλκωμα περιφέρων ἐντὸς τοῦ τείχους
7 ἐπάνω προσίσχε πρὸς τὸ δάπεδον. τὰ μὲν δὴ ἄλλα 15 κωφὰ ἦν πρὸς ἃ προσίσχοι τὸ χάλκωμα· ἦ δ' ὑπωρύσσετο, ἀντήχει. ἀνθυπορύσσοντες οὖν οἱ Βαρκαῖοι ταύτῃ
8 ἀπέκτειναν πολλοὺς τῶν ὑπορυσσόντων. καὶ οἷς μὲν προσήκει τὰ ἐκ τῶν ἐναντίων τεχνάσματα ἀντιούμενον ἀμύνειν δεδήλωται· τοῖς δὲ ὑπορύσσειν μέλλουσιν τόδ' ἂν 20
9 γένοιτο ἰσχυρότατον φράγμα. χρὴ δύο ἁμαξῶν τοὺς ῥυ-

---

1. ἦ δ' ἂν τὸ ὑπόρυγμα] ἂν δὲ τὰ ὀρύγματα *M* | τῇ τάφρῳ Iulius Africanus: τῆς τάφρου *M* || 2. ἐμβάλλοντα Iulius Africanus: ἐπιβάλλοντες *M* | τὰ addidi || 3. ἅμα] τὰ ἄλλα *M* || 4. πορεύηται Iulius Africanus: πορεύσηται *M* | ποιῇ C: ποιῇ ἢ *M* | ὀρύγματι] Fortasse ὑπορύγματι || 5. γὰρ Iulius Africanus: δὲ καὶ *M* || 6. σφῆκας C: σφίκας *M* || 7. ὀρύγματι] Fortasse ὑπορύγματι || 8. γνωρίσαντα] αγνωσσειν *M* | τόπον C: τρόπον *M* | ὀρύσσουσιν *M* || 9. ἐμπιμπράναι *M* | τοὺς – ὄντας] ἐν τῷ ὀρύγματι μαχόμενον *M*. praeterea malim ὑπορύγματι || 10. παλαιὸν δέ τι λέγεται] Verba corrupta. proxima sumpsit Aeneas ab Herodoto IV 200 || 11. πολιορκοῦντα C: πολιορκοῦντας *M* | ἐπιχειρεῖν Meierus: ἐπεὶ ἐπεχείρει *M* || 12. τὸ codex Casauboni: omisit *M* || 14. περιφέρων T: ἐπιφέρων *M* | ἐντὸς Orellius: ὄντος *M* || 15. τὸ δάπεδον Wesselingius: τάδε *M* | τὰ μὲν δὴ ἄλλα] τῇ μὲν δὴ ἄλλῃ *M* || 16. προσίσχοιτο χάλκωμα *M* | ὑπωρύσσετο C: ὑπορύσσετο *M* || 17. ἀνθυπορύσσοντες] ἀντορύσσοντες *M* || 18. Post ὑπορυσσόντων in *M* legitur ὅθεν καὶ νῦν χρῶνται αὐτῷ ἐν τῇ νυκτὶ γνωρίζοντες ἢ ὑπορύσσεται || 19. προσήκει H: προσῆκεν *M* | τὰ ἐκ C: καὶ ἐκ *M* | ἀντιούμενον] καὶ ἀντιωμεθα (sic) *M* | ἀμύνειν codex Casauboni: ἀμύνη *M* || 20. τόδ'] ὧδ' *M* ||

μοὺς εἰς ταὐτὸ δῆσαι, συμπετάσαντα κατὰ τὸ ἕτερον μέρος τῆς ἁμάξης, ὅπως μετεωρισθῶσιν οἱ ῥυμοὶ εἰς ταὐτὸ συννεύοντες· ἔπειτα οὕτως ἐπισυνδεῖν ἄλλα ξύλα καὶ ῥίπας καὶ ἄλλα φράγματα ἐπάνω, ταῦτα δὲ πηλῷ καταλεῖψαι. ἔσται οὖν τοῦτο καὶ προσαγαγεῖν ὅποι βούλει τοῖς τροχοῖς καὶ ἀπαγαγεῖν. ὑπὸ δὲ τούτῳ τῷ φράγματι τοὺς ὑπορύσσοντας εἶναι.

38 Ἐν δὲ ταῖς προσβολαῖς τῶν πολεμίων πρὸς τὸ τεῖχος μηχανήμασιν ἢ σώμασι χρὴ διατετάχθαι τὸ ἐν τῇ πόλει μάχιμον εἰς τρία μέρη, ὅπως οἳ μὲν μάχωνται, οἳ δὲ ἀναπαύωνται, οἳ δὲ παρασκευάζωνται, καὶ νεοκμῆτες ἀεὶ ἐπὶ τοῦ τείχους ὦσι. δεῖ δέ τινας καὶ ἄλλους 2 ἐπιλελεγμένους πλήθει πλείους μετὰ τοῦ στρατηγοῦ συμπεριιέναι κύκλῳ τὸ τεῖχος, ἐπικουροῦντας ἀεὶ τῷ πονουμένῳ μέρει· τὸ γὰρ ἐπιὸν μᾶλλον οἱ πολέμιοι φοβοῦνται τοῦ ὑπάρχοντος καὶ παρόντος ἤδη. τάς τε κύνας δεσμεῖν 3 τὸν καιρὸν τοῦτον· μετὰ γὰρ ὅπλων καὶ θορύβου τῶν ἀνθρώπων τρεχόντων κατὰ τὴν πόλιν δι' ἀήθειαν ὀχλοῖεν ἂν προσκείμεναι. τοῖς τε ἐπὶ τῷ τείχει μαχομένοις παρ- 4 αινεῖν οἷα ἑκάστῳ δεῖ, τοὺς μὲν ἐπαινοῦντα τῶν δὲ δεόμενον· ὀργῇ δὲ μηδένα μετιέναι τῶν τυχόντων ἀνθρώπων, ἀθυμότεροι γὰρ εἶεν ἄν. εἰ δέ τινας δεῖ μετιέναι 5 ἀμελοῦντας καὶ ἀκοσμοῦντας, τοὺς τὰ πλεῖστα κεκτημένους καὶ ἐν τῇ πόλει δυνάμεως μάλιστα μετέχοντας· εἴη γὰρ

---

1. ταὐτὸ Iulius Africanus: τὸ αὐτὸ *M* ‖ 2. ταὐτὸ συννεύοντες idem: τὸ αὐτὸ νεύοντες *M* ‖ 3. οὕτως Iulius Africanus: ὅπως *M* ‖ 4. ῥίπας] ῥιποὺς *M* | φράγματα] Fortasse σάγματα. ἄλλα ex proximis male repetitum videtur | ἐπάνω ταῦτα δὲ T: ἐπάνω τὰ δὲ Iulius Africanus, σπανιώτατα δὲ *M* ‖ 5. ὅποι] ὅπου *M* | 6. τοῖς τροχοῖς Orellius: τοὺς τροχοὺς *M* ‖ 8. In *M* lemma est *ΕΠΙΚΟΥΡΗΤΙΚΑ* ‖ 9. ἢ] ἤ καὶ *M* | τὸ ἐν τῇ πόλει μάχιμον εἰς] τοὺς ἐν τῇ πόλει μαχομένους *M* ‖ 11. νεοκμῆτες C: νεοχμῆτες *M* ‖ 12. ὦσι C: σώμασιν *M* ‖ 13. πλήθει πλείους] πλήθει πλείονι *M* | ξυμπεριιέναι *M* ‖ 14. τῷ T: τινι *M* ‖ 16. Malim τούς et προσκείμενοι ‖ 17. μετὰ γὰρ ὅπλων καὶ θορυβούντων ἀνθρώπων τρεχόντων κατὰ τὴν πόλιν δι' ἀλήθειαν ὁρῶσαι αἱ κύνες ὀχλοῖεν ἂν προσκείμεναι *M*. ἀήθειαν C, μετὰ γὰρ ὅπλων καὶ θορύβου τῶν ἀνθρώπων τρεχόντων κατὰ τὴν πόλιν Meinekius. ego delevi ὁρῶσαι αἱ κύνες ‖ 20. ἐπαινοῦντα C: ἐπαινοῦντας *M* | τῶν δὲ δεόμενον C: τῶν δεδεμένων *M* ‖ 21. μηθένα *M* ‖ 22. μετιέναι inseruit C ‖ 24. δυνάμεως Orellius: δυναμένους *M* ‖

ἂν τὸ τοιοῦτο καὶ τοῖς ἄλλοις παράδειγμα. ἐν οἷς δὲ καιροῖς ἕκαστα τούτων δεῖ ποιεῖν, ἐν τοῖς Ἀκούσμασι
6 γέγραπται. χερμάδια δὲ μὴ ἐπιτρέπειν ἀκαίρως ἀφιέναι, παρεσκευάσθαι δὲ ὅπως καὶ τὰ ἀφεθέντα ἐν τῇ ἡμέρᾳ ἐν
7 τῇ νυκτὶ ἀναλέγηται ὧδε. κατακρεμαννύειν χρὴ κοφίνους κατὰ τοῦ τείχους, εἰς οὓς τινες ἀναλέξουσι· τοὺς δὲ ἄνδρας χρὴ τοὺς ἀναλέξοντας τὰ χερμάδια καταβαίνειν διὰ τῶν εἰς τὸ τεῖχος κατακρεμασθέντων δικτύων σχοινίων καὶ ἐλαφείων ἢ ταῖς ἐκ τῶν σχοινίων κλίμαξι πεποιημέναις.
8 ταύτας δ' ἴσας εἶναι τὸν ἀριθμὸν τοῖς ἀναλέγουσιν ἀνθρώποις, ὅπως, ἐάν τινες ἐπίωσι, ταχὺ ἀναβαίνωσι· πύλας γὰρ μὴ ἀνοίγεσθαι νυκτός, ἀλλὰ ταῖς τοιαύταις κλίμαξι χρῆσθαι καὶ ἂν ἄλλα τινὰ βούλησθε.

39 Χρὴ δὲ πολιορκούμενον καὶ τοιόνδε τεχνάζειν. ἐν ταῖς πύλαις εἰς τὸ ἔσω μᾶλλον μέρος ὀρύξαντα τάφρον ἔνθεν καὶ ἔνθεν πάροδον λιπεῖν· ἔπειτα ἐπεξελθόντας τινὰς ἀκροβολίζεσθαι καὶ προάγειν τῶν πολεμίων τινάς,
2 ὥστε συνεισδραμεῖν εἰς τὴν πόλιν. τοὺς μὲν οὖν ἐκ τῆς πόλεως καταφεύγοντας εἰς τὴν πόλιν χρὴ ἔνθεν καὶ ἔνθεν παρὰ τὰς λελειμμένας παρόδους εἰστρέχειν, τοὺς δὲ τῶν πολεμίων συνειστρέχοντας εἰκός ἐστι, μὴ προειδότας τὴν τάφρον, εἰσπίπτειν καὶ φθείρεσθαι· ἔσω δὲ τῆς πόλεως ἐν τῷ καιρῷ τούτῳ εἶναι συντεταγμένους τινὰς ἐν ταῖς διόδοις

---

1. ἂν τὸ Meinekius: ἄν τι *M* | δὲ inseruit C || 2. *ποιεῖν*] *παρεῖναι M* || 4. δὲ ὅπως C: ὁ δὲ ὅπως *M* | τῇ ante *νυκτί* addidi. proxima in *M* sic habentur, *κατακρεμμανύειν χρὴ ἓν κοφίνοις ἄνδρας κατὰ τοῦ τείχεος οἵτινες ἀναλέξουσιν οὕτως δὲ ἄνδρας χρὴ τοὺς ἀναλέξοντας τὰ χερμάδια ἀναβαίνειν εἰς τὸ τεῖχος κατακρεμασθέντων δακτυλίων ἴστων πελαφίων ἢ ταῖς ἐκ τῶν σχοινίων κλίμαξι πεποιημέναις. δικτύων συείων καὶ ἐλαφείων* Orellius et T, reliqua ego correxi || 10. δ' ἴσας Kirchhoffius: *δισσὰς M* || 11. *ἐπίωσι* idem: *πονῶσιν M* || 13. *ἂν ἄλλα τινὰ* COrellius: *ἄν τινα M* || In *M* lemma est *ΛΟΛΕΥΜΑΤΑ*. proxima excerpsit Iulius Africanus c. LVI | *πολιορκουμένους M* | *καὶ τοιόνδε*] *καὶ τὰ τοιαῦτα M* || 15. *πύλαις*] *πύλαις καὶ M* || 16. *λιπεῖν* Iulius Africanus: *λιπόντα M* || 17. *προάγειν* idem: *προσάγειν M* | *τινάς* accessit ex Iulio Africano || 19. Verba *ἔνθεν καὶ ἔνθεν* nescio an ex superioribus huc traducta sint || 21. *εἰκός* C: *εἴη ὅς M* || 22. Post *τάφρον* in *M* est *ἅμα τε καὶ κεκρυμμένης οὔσης* | *δὲ* addiderunt T || 23. *τούτῳ*] *τούτων δ' M* ||

καὶ πρωτοις ορυγμασι πυλῶν χώραις. ἐὰν δὲ πλείονες τῶν πολεμίων ἐπεισφέρωνται καὶ βούλῃ αὐτοὺς κατασχεῖν, χρὴ ἡτοιμάσθαι ἄνωθεν ἀπὸ τοῦ μεσοπύλου πύλην ξύλων ὡς παχυτάτων καὶ σεσιδηρῶσθαι αὐτήν. ὅταν οὖν βούλῃ 4 ἀπολαβεῖν τοὺς εἰστρέχοντας πολεμίους, ταύτην ἀφιέναι ὀρθήν, καὶ αὐτῶν τινὰς ἡ πύλη φερομένη διαφθερεῖ καὶ τοὺς λοιποὺς σχήσει μὴ εἰσιέναι· ἅμα δὲ καὶ οἱ ἐπὶ τῷ τείχει βαλλόντων τοὺς πρὸς ταῖς πύλαις πολεμίους. χρὴ 5 δὲ τοῖς φίλοις ἀεὶ προειρῆσθαι, ἐάν ποτε αὐτοῖς πολέμιοι συνεισπίπτωσιν, ὅπῃ τῆς πόλεως συναθροισθήσονται, ὅπως τῷ τόπῳ οἱ φίλοι διαγιγνώσκωνται· οὐ γὰρ ῥᾴδιον μιγάδας τε ὄντας καὶ μεθ' ὅπλων καὶ μετὰ θορύβου συνεισπίπτοντας διαγιγνώσκεσθαι. ἤδη δέ τινες 6 τοῖς θρασυνομένοις τῶν ἐπιόντων καὶ προσπελάζουσι τῷ τείχει ἐγγυτέρω τοῦ προσήκοντος νυκτὸς καὶ μεθ' ἡμέραν βρόχους ἡμέρας μὲν κρυφαίους κατεσκεύασαν νυκτὸς δὲ ἀκρύπτους, οἷς τὸν εἰσπεσόντα ἀνέσπασαν. ἔστω δὲ 7 ὁ μὲν βρόχος ὅπλον ὡς ἰσχυρότατον, τὸ δὲ ἕλκον ἐπὶ δύο πήχεις ἄλυσις, τοῦ μὴ διατμηθῆναι· τὸ δ' ἄλλο, ὅθεν ἕλκουσι, σχοῖνος. οὗτος δὲ ἔσω κατακρέμαται καὶ ἀνασπᾶται ὄνοις ἢ κηλωνείοις. οἱ δὲ πολέμιοι ἐὰν διατέμνειν ἐπιχειρῶσι, πρὸς ταῦτα πάλιν οἱ ἔσωθεν κηλωνείοις χρῶνται καθιέντες, ἵνα μὴ διατέμνηται· αἱ γὰρ 8

---

1. Malim *πλείους* ‖ 2. *βούλῃ* H: *βούλει M* | *κατασχεῖν*] *κατέχειν* Iulius Africanus, *ἔχειν M* ‖ 3. *ἄνωθεν* codex Casauboni: *ἔνθεν M* | *πύλην* T: *πύλη M* | *ξύλων* C: *πυλῶν M* ‖ 4. *βούλῃ* H: *βούλει M* ‖ 5. *ἀπολαβεῖν* H: *ὑπολαβεῖν M* ‖ 6. *αὐτῶν*] *αὐτή τε M* | *ἡ πύλη φερομένη διαφθερεῖ* COrellius: *ἡ πολυφερομένη διαφέρει M* ‖ 7. *λοιποὺς* Iacobus Gronovius: *πολεμίους M* | *οἱ* Iulius Africanus: *τῶν M* ‖ 9. Fortasse *φιλίοις* | *αὐτοῖς* H: *αὐθις M* ‖ 11. Fortasse *φίλιοι* | *διαγινώσκονται M* ‖ 12. *καὶ* post *ὄντας* adieci | *θορύβων M* ‖ 13. *διαγινώσκεσθαι M* | *δέ τινες* Meinekius: *δὲ M* ‖ 14. *τῶν ἐπιόντων*] *τέλεον M* ‖ 15. *ἐγγυτέρω* Meinekius: *ἐγγύτεροι M* | *νυκτὸς καί*] *νυκτὸς ἢ M* ‖ 16. *κρυφαίους* codex Casauboni: *κρυφαίως M* ‖ 17. Post *οἷς* in *M* est *προσκαλούμενοι ἀκροβολισμοῖς* | *ἀνέσπασαν*] *ἀνασπάσουσιν M* ‖ 18. *ὁπλουῶς ἰσχυροτάτου M* ‖ 19. *ἄλυσις* C: *ἁλυσεις M* ‖ 20. *σχοίνου M* | *οὗτος*] *ὅλως M* ‖ 21. *ὄνοις*] *ὅπλοις M* | *κηλωνείοις* C: *αλωνίοις* sine spiritu *M* ‖ 22. *ταῦτα*] Malim *τοῦτο*. mox non intellego *πάλιν* ‖

ἁλύσεις πρὸς τὰ τοιαῦτα πραγματῶδες καὶ δυσμεταχείριστον, ἅμα δὲ καὶ ἀλυσιτελές.

40 Ἂν δὲ ᾖ ἡ πόλις μεγάλη καὶ μὴ ἱκανοὶ ὦσιν οἱ ἐν τῇ πόλει ἄνθρωποι περιίστασθαι ἐν κύκλῳ τὴν πόλιν, τοῖς δὲ ὑπάρχουσι θέλῃς αὐτὴν διαφυλάξαι, χρὴ τῆς πόλεως ὅσα ἂν ᾖ εὐπρόσοδα οἰκοδομεῖν ὑψηλὰ ἐκ τῶν ὑπαρχόντων, ἵνα, ἂν τινες τῶν πολεμίων ἢ λαθραίως ἢ βίᾳ ἀναβῶσιν, ἐν ἀπορίᾳ γενόμενοι μὴ δύνωνται καταπηδᾶν, ἀλλὰ πάλιν ἀπίωσι μὴ ἔχοντες ὅπῃ καταβαίνωσι. παρὰ δὲ τὰ ᾠκοδομημένα ἔνθεν καὶ ἔνθεν φυλασσόντων οἱ ὑπάρχοντες ἄνθρωποι, ἵνα τοὺς κατα-
2 πηδῶντας ἀπὸ τῶν ὑψηλῶν διαφθείρωσι. Διονύσιος δὲ πόλιν ὑποχείριον ποιησάμενος, ἀνδρῶν τῶν ἐν τῇ πόλει τεθνηκότων τῶν δὲ πεφευγότων, ἠθέλησε κατασχεῖν· ἦν δὲ μείζων ἢ ὥστε ὑπ' ὀλίγων φυλάσσεσθαι. ἐπιμελη-
3 τὰς μὲν οὖν τινὰς μετ' ὀλίγων οὓς ἐνεδέχετο * *, τῶν δὲ ἐν τῇ πόλει τὰ μέγιστα δυναμένων τοῖς οἰκέταις συνῴκισε τῶν δεσποτῶν τὰς θυγατέρας καὶ γυναῖκας καὶ ἀδελφάς· οὕτω γὰρ αὐτοὺς ᾤετο μάλιστα πολεμιωτάτους ἔσε-
4 σθαι τοῖς δεσπόταις καὶ αὐτῷ πιστοτάτους. Σινωπεῖς δὲ πρὸς Δαταμᾶν πολεμοῦντες ἐπεὶ ἐν κινδύνῳ ἦσαν καὶ σπάνει ἀνδρῶν, τῶν γυναικῶν τὰς ἐπιεικεστάτας μεταμορφώσαντες καὶ στολίσαντες ἐς ἄνδρας ὡς μάλιστα, ἀντὶ ὅπλων καὶ περικεφαλαίων τούς τε κάδους καὶ τὰ ὁμότροπα τούτοις δόντες χαλκώματα, περιῆγον τοῦ τείχους ἧ μά-
5 λιστα οἱ πολέμιοι ὄψεσθαι ἔμελλον. βάλλειν δὲ οὐκ εἴων αὐτάς· πόρρωθεν γὰρ κατάδηλος βάλλουσα γυνή.

---

3. Inserui *δέ* ‖ 6. *ὑψηλὰ* Iulius Africanus: *ὕψει M* ‖ 8. *ἀπορίᾳ* C: *ἀπειρίᾳ M* ‖ 9. *καταπηδᾶν* Iulius Africanus: *καταπηδᾶν ἀφ' ὑψηλῶν M* | *πάλιν ἀπίωσι* COrellius: *πᾶσιν ἅπασι M* ‖ 11. *οἱ ὑπάρχοντες ἄνθρωποι* Iulius Africanus: *ὑπαρχόντων ἀνθρώπων M* ‖ 13. *τῶν ἐν τῇ πόλει*] Malim *τῶν ἐν τῇ πόλει τῶν μέν* ‖ 16. Feci asteriscos ‖ 17. *δυναμένων τοῖς οἰκέταις* T: *δυναμένους οἰκέτας M* ‖ 19. *αὐτοὺς*] *ἂν M* ‖ 20. *πιστοτάτους* T: *πιστοτέρους M* | Malim *Σινωπῆς* ‖ 22. *τὰς ἐπιεικεστάτας μεταμορφώσαντες*] *τὰ ἐπιεικέστατα σώματα μορφώσαντες M* ‖ 23. *καὶ στολίσαντες*] *καὶ ὁπλίσαντες M* | *ἐς ἄνδρας ὡς μάλιστα*] *ὡς ἐς ἄνδρας μάλιστα M* ‖ 26. *δὲ* inseruit C ‖

ποιοῦντες δὲ ταῦτα τοὺς αὐτομόλους ἐφύλασσον μὴ διαγγελθῇ. ἐὰν δὲ θέλῃς τοὺς ἐπὶ τῷ τείχει περιόδους πλείους φαίνεσθαι, χρὴ περιιέναι ἐπὶ δύο, ἔχοντας τὰ δόρατα τὸν μὲν ἕνα στίχον ἐπὶ τῷ ἀριστερῷ ὤμῳ, τὸν δὲ ἕτερον ἐπὶ τῷ δεξιῷ· καὶ οὕτω φανοῦνται εἰς τέσσαρας. ἐὰν δὲ ἐπὶ τριῶν περιίωσι, τὸν μὲν πρῶτον ἐπὶ τῷ δεξιῷ ὤμῳ ἔχειν τὸ δόρυ, τὸν δὲ ἕτερον ἐπὶ τῷ ἀριστερῷ· καὶ οὕτω φανοῦνται εἰς ἕξ. 6 7

Περὶ δὲ τροφῆς ἀσίτου καὶ ὧν σπάνις ἐν πολιορκίᾳ καὶ ὑδάτων ὡς δεῖ πότιμα ποιεῖν, ἐν τῇ Παρασκευαστικῇ βίβλῳ δεδήλωται. ἐπεὶ δὲ ταῦθ' ἡμῖν εἴρηται, περὶ ναυτικῆς τάξεως δίειμι. 8

Ναυτικοῦ δὲ στρατεύματος δύο εἰσὶ στόλοι . . . .

---

2. τοὺς adieci || 4. μὲν inserui || 6. ἐπὶ τριῶν H: τρία *M* | περιίωσι codex Casauboni: περιῶσι *M* | Post πρῶτον in *M* est ἄνδρα || 7. Post ἀριστερῷ in *M* est καὶ οἱ ἄλλοι κατὰ ταὐτά || 8. εἰς ἕξ] εἰς δύο *M* | In extremo libello *M* habet Αἰνείου πολιορκητικὰ ἢ Αἰλιανοῦ καθὼς ἡ ἀρχή ||

ADDENDA ET CORRIGENDA.

Pag. 5, 4. In quibusdam exemplaribus addendum est codicem Casauboni exhibere *καὶ πόλις*, Mediceum *καὶ πίλις καὶ πατρίς:* item ante *πολῖται* adiciendum videri *οἱ:* deinde p. 13, 8 in notis post *ἔγκαρπα καὶ τὰ* excidisse *ἄλλα* et delendum esse '10. *καὶ τὰ κατὰ τὴν χώραν στάσιμα ὕδατα*] *καὶ τὰ ἄλλα κατὰ τὴν χώραν στάσιμα ὕδατα M'*, denique *ὑμάρχον* et *ὑμάρχους* praestare p. 8, 25. 9, 2. 4.

Pag. 7, 10. Praeivit Thucydides II 4.

Pag 7, 15. L. *τοιόνδε.*

Pag. 10, 26. Dele '12'.

Pag. 12, 1. *κἂν*] Suffecerit *κἂν ὡς ἐκ πλείστου ἀγγέλλωσιν.* Lucianus Abdic. 27 *κἂν ὅτι μάλιστα ἐκ τῶν ὁμοίων συνεστάναι ὁμολογῶνται.*

Pag 14, 25. *οἰσθήσονται*] Ita iam Meierus.

Pag. 15, 22. *τε*] Immo *δέ.*

Pag. 16, 2. *ἢ ἐπὶ βωμοῦ*] Deletum malim.

Pag. 17, 15. *ὡς εἰς παρατήρησιν* Turicenses.

Pag. 18, 6. Post *ἕνεκεν* excidit '*M*'.

Pag. 20, 3. Restitui cum *M Κορκύρᾳ* et *Κορκυραίων.*

Pag. 20, 24. In notis pro '23' pone '24'.

Pag. 32, 5. *ἕνα λίθον* praeceperat Casaubonus.

Pag. 36, 5. Post *ἐστίν* plene interpungendum est.

Pag. 37, 5. *καὶ μὴ καταβαίνοντες*] Delendum videtur.

Pag. 39, 2. *αὐτοῦ*] Immo *αὑτοῖ.*

Pag. 42, 3. **] In *M* spatium nullum est.

Pag. 58, 23. Admonet me Alfredus Eberhardus librum Mediceum, quem his ipsis diebus mea causa inspexit, distincte exhibere *οἱοντε δὲ διονύσιος καλός.* itaque *τοῦτο,* Angeli Bergicii commentum, iam membranarum auctoritate expelli licet.

Pag. 60, 20. In notis lege '20. *ἢ ἂν – τείχει*'.

Berolini apud Weidmannos (I. Reimer).

Impressum Berolini in officina W. Pormetteri.